Hoc praeter sch. ad δ, 88 (fr. 10) uno loco citatur Aristoteles (Ari-

starchus?) in cod. A. reliquae omnes aporematum Aristoteli tributorum mentiones debentur ipsi Porphyrio, cuius commentariorum Homericorum (*ζητημάτων Ὁμηρικῶν*) fragmenta passim dispersa *αὐτολεξεὶ* leguntur in extrema margine codicis Veneti B, nulla nisi editorum errore in cod. A. quum autem Porphyrium excerpserit auctor quaestionum inter scholia cod. A saepissime appositarum, in hoc etiam codice licet auctorum testimonia plerumque ille omiserit, Aristotelem subinde citari (cf. fr. 10) non miraberis.

22. (147)

Schol. B ext. f. 322ᵃ (p. 516 Vill.) et M (Mosq. p. 88 Matth.) ad Il. ω, 15: (*Πορφυρίου* M) *διὰ τί ὁ Ἀχιλλεὺς τὸν Ἕκτορα εἷλκε περὶ τὸν τάφον τοῦ Πατρόκλου παρὰ τὰ νενομισμένα ποιῶν εἰς τὸν νεκρόν; ἢ παρανομοῦσι τὰ αὐτὰ οὐχ οἱ ἀμυνόμενοι ἀλλ' οἱ ἄρχοντες, ὁ δὲ Ἕκτωρ πρότερος ἐπεχείρησε λωβήσασθαι Πάτροκλον τὰ τοιαῦτα … ἔστι δὲ λύσις* (*λύειν* M), *φησὶν Ἀριστοτέλης, καὶ εἰς τὰ ὑπάρχοντα ἀνάγων* (f. *ἀνάγειν*) *ἔθη ὅτι τοιαῦτα ἦν, ἐπεὶ καὶ νῦν ἐν Θετταλίᾳ περιέλκουσι περὶ τοὺς τάφους.*

De solutionum variis certisque generibus v. Arist. poet. 25. Pseudoalex. probl. I praef. cf. Lehrs de Aristarchi stud. Hom. p. 225. ad rem cf. Callimachus in eadem quaestione citatus ad χ, 397: *διὰ τί Ἀχ. θανόντα σύρει τὸν Ἕκτορα … ὁ δὲ Καλλίμαχός φησιν ὅτι πάτριόν ἐστι Θεσσαλοῖς τοὺς τῶν φιλτάτων φονέας σύρειν περὶ τοὺς τῶν φονευθέντων τάφους* etc.

23. (148)

Schol. Victor. (p. 642, 28 Bekk. idem eodem modo legitur in cod. Townleiano qui nunc est Burneianus 86 musei Brit., f. 274ᵇ) ad Il. ω, 420 *σὺν δ' ἕλκεα πάντα μέμυκε*: *παράδοξον* (*τέρας* ait Eustath. p. 1356, qui eadem fere habet)· *τὰ μὲν γὰρ τῶν ζώντων ἕλκη μετὰ θάνατον μύει, τὰ δὲ μετὰ θάνατον γινόμενα σήπεται.*

ib. *ἀδύνατον νεκρῶν τραύματα μύειν, ὥς φησιν Ἀριστοτέλης εἰρηκέναι Ὅμηρον* (in carmine deperdito) «*μῦσεν δὲ περιβροτόεσσα ὠτειλή*». *τοῦτο δὲ τὸ ἡμιστίχιον οὐδὲ φέρεται.*

24. (149)

Schol. B (p. 529 Vill. hoc non vidi in cod. f. 333ᵃ) ad Il. ω, 569 *μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσι ἐάσω*: *Ἀριστοτέλης φησὶν ἀνώμαλον εἶναι τὸ Ἀχιλλέως ἦθος. οἱ δέ φασιν ὅτι ἵνα ἀποστήσῃ αὐτὸν τοῦ ἐφ' Ἕκτορι θρήνου, διὰ τοῦτο δειδίσσει.*

Cf. Eustath. in Il. p. 1365: *σημείωσαι δ' ὅτι Ἀριστοτέλης, ὥς φασιν οἱ παλαιοί* (i. e. scholia Homerica), *ἀνώμαλον εἶναι τὸ τοῦ Ἀχιλλέως ἦθος συνάγει, ὃς τὰ πρῶτα μειλιχίοις δεξιωσάμενος τὸν ἱκέτην Πρίαμον, εἶτα λεοντωθεὶς οἷον ὡς δηλοῖ τὸ »λέων ὡς ἆλτο θύραζε»* (572), *διὸ καὶ νῦν ἔδεισεν ὁ γέρων καὶ ἐπείθετο μύθῳ, ἀγριοῦται καὶ ἀπειλεῖται τὰ προρρηθέντα. καὶ δοκεῖ μὲν ἐπίτηδες οὕτω ποιεῖν, ὡς ἂν ἐκπλήξῃ τὸν γέροντα καὶ ἀποστήσῃ τοῦ οἴκτου. τὸ δ' ἔστιν οὐ τοιοῦτον· καὶ προιὼν* (584—86) *γὰρ ὁ ποιητὴς ὑπολαλεῖ δέος εἶναι μή ποτε Πρίαμος μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο παῖδα ἰδών, Ἀχιλῆι δ' ὀρινθείη φίλον ἦτορ καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτηται ἐφετμάς, ὅ ἐστιν ἐντολάς ... ὅλως γὰρ ταράσσεται ὁ Ἀχιλλεὺς ἐνταῦθα ὡς μάλιστα, εἰ καὶ μόνον ἀκούσει Ἕκτορος ὄνομα, ὃ δὴ καὶ Φίλιππος λέγεται πάσχειν μετὰ τὴν ἐν μάχῃ πήρωσιν ... διὸ οὐδ' ἐμφανίζει αὐτῷ τὸν υἱόν, μὴ καὶ ὁ ἐπὶ τῷ νεκρῷ οἶκτος τοῦ πατρὸς ἀναζωπυρήσῃ χόλον τῷ Ἀχιλλεῖ, ἅμα δὲ ἠοῖ φαινομένῃ ὄψεσθαι αὐτὸν λέγει. συνάγεται δὲ τὸ τοῦ Ἀχιλλέως ἄστατον καὶ ἐν τῇ ᾱ ῥαψῳδίᾳ καὶ ἐν ταῖς λιταῖς.*

25. (150)

Schol. Harl. (H) et Ambros. Q (Q 88 sup.) et E ad Od. δ, 356 p. 206, 26 Dindorf. (*νῆσος ... Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσιν,*) *τόσσον ἄνευθ'* (*ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς ἤνυσεν*): *τοσοῦτον γὰρ ἀπέχει Ναυκράτεως ἡ Φάρος, ἔνθα τότε τῆς Αἰγύπτου τὸ ἐμπόριον ἦν, ὥς φησιν Ἀριστοτέλης* (ex Herodoto 2, 179 *ἦν δὲ τὸ παλαιὸν μούνη ἡ Ναύκρατις ἐμπόριον καὶ ἄλλο οὐδὲν Αἰγύπτου*). *μέχρι Ναυκράτεως τὸ πέρας ἦν τοῦ Νείλου τότε. καὶ Ἡρόδοτος γοῦν φησὶν ὅτι τὸ παλαιὸν τὸ κάτω μέρος τῆς Αἰγύπτου πᾶν πέλαγος ἦν, ὁ δὲ Νεῖλος πολλὴν καταφέρων ἰλὺν τὴν καλουμένην κάτω χώραν ὅλην προσέχωσεν· ὅθεν καὶ μέλαινα καλεῖται. ὁρᾶται δὲ καὶ μέχρι νῦν κογχύλια καὶ λοπάδες. ἐγὼ δὲ καὶ περὶ Μέμφιν εἶδον, φησὶν ὁ Πῖος* (qui interdum etiam in schol. B ad Iliadem citatur, nunquam autem in Ven. A. *ὑπόμνημα* eius appellatur ab Etym. M. s. *ὠμήρησε*. qui auctor nescio an e solenni nominis Porphyrii scribendi compendio ortus sit. *πφ*ίου enim scholia sunt *πορφυρίου* in codicibus).

26. (151)

Schol. Hamburg. (T) ad Od. ε, 93 p. 251, 14 Dind. (Porphyrii, ut ex altero scholio colligitur) *κέρασσε δὲ νέκταρ ἐρυθρόν: εἰ μηδὲν ἄλλο πίνουσιν οἱ θεοὶ ἢ τὸ νέκταρ, διὰ τί αὐτὸ ἡ Καλυψὼ τῷ Ἑρμῇ κεράσασα δίδωσιν; εἰ γὰρ κεκέρασται σὺν ὕδατι, οὐ μόνον τὸ νέκταρ ἀλλὰ καὶ*

τὸ ὕδωρ πίνουσιν. καίτοι, φησί, ψιλὴν ἀμβροσίαν παρέθηκε «κέρασσε δὲ νέκταρ ἐρυθρόν». λύων οὖν ὁ Ἀριστοτέλης τὸ κέρασσε, φησίν, ἤτοι τὸ μῖξαι ἄλλο ἄλλῳ ὑγρῷ δηλοῖ ἢ τὸ ἐγχέαι· ἄμφω γὰρ δηλοῖ τὸ κεράσαι. νῦν οὖν τὸ «κέρασσε δὲ νέκταρ ἐρυθρόν» οὐ τὸ μῖξαι δηλοῖ, ἀλλὰ ψιλῶς ἐγχέαι.

Porphyrium sequitur eius commentarii auctor ex quo desumtum est alterum scholium codd. Ambros. QEB et ex parte P p. 251, 12 et 22 Dind., quod habet ita cod. Vindob. (Gr. phil. 133 f. 89) κέρασε δὲ νέκταρ ἐρυθρόν: ἀντὶ τοῦ ἐνέχεεν· οὐ γὰρ κιρνᾶται τὸ νέκταρ. εἰ οὐδὲν γὰρ ἄλλο πίνουσιν οἱ θεοὶ ἢ νέκταρ πῶς αὐτὸ κιρνᾷ ὕδατι ἡ Καλυψώ; ἔστιν οὖν ἀντὶ τοῦ ἐνέχεεν ἀπὸ τῆς ἀρχαίας συνηθείας· εἰς κέρας γὰρ ἐγχέοντες ἔπινον (cf. Eustath. ad h. l. p. 1525). ἢ ὅτι τὸ κέρασε κατὰ τὸν Ἀριστοτέλην, ὡς ὁ Πορφύριος λέγει, οὐ μόνον δηλοῖ τὸ μῖξαι ἄλλῳ ὑγρῷ ἄλλο, ἀλλὰ καὶ τὸ ἐγχέαι ψιλῶς.

27. (152)

Schol. TQEP ad Od. ε, 334 (Ἰνὼ Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα), cuius pars prior altera apponitur et ad Od. κ, 136 in Hamb. (T) et cum ipso vero initio ad Il. τ, 407 in Ven. B. coniungenda enim sunt fragmenta haec Porphyriana p. 529ᵃ 35—ᵇ3 Bekk. cum p. 278, 15—279, 9 Dind., sicut recte factum est in Vindob. (cf. Ambros. E) ad Od. ε, 334 (f. 4ᵛ): τὸ αὐδήεντα (Il. τ, 407) οὐκ ἔστι φωνὴν ἔχοντα ἀλλ' ἀνθρωπείᾳ φθεγγόμενον ὀπὶ ὡς οἱ ἄνθρωποι· καὶ ὡς παράδοξον ἐπεσημήνατο. καὶ τὸ «Κίρκη ἐϋπλόκαμος δεινὴ θεὸς αὐδήεσσα» (κ, 136) σημαίνει τὸ ἀνθρωπίνως (ἀνθρωπιστί T) φθεγγομένη, οὐχ ὡς θεός (cod. Vind. ita incipit βροτὸς αὐδήεσσα: φωνῇ ἀνθρωπίνῃ χρωμένη, ἀλλ' οὐχὶ θείᾳ etc.)· διὰ σημείων γὰρ (καὶ male add. T) οἰωνῶν καὶ ἱερείων καὶ θυσιῶν, καὶ δι' ὀνείρων (καὶ ἐφετμῶν add. Ven. B) καὶ οὐκ αὐδῆς φθέγγονται οἱ θεοί. καὶ ἐφετμαὶ αὗταί (sic Vind. et E nisi quod male αὐταί scribitur. καὶ αἱ ἐφετμαί T. καὶ ἀλλαχόθι Ven. B) «οἱ δ' αἰεὶ (τ' αἰεὶ B) βούλοντο (-λοιντο Vind.) θεοὶ μεμνῆσθαι ἐφετμέων» (Od. δ, 353), τῶν θεοπροπίων λέγει. ἡ δὲ Κίρκη «καλὸν ἀοιδιάει» (Od. κ, 227) ὡς ἄνθρωπος (ἡ δὲ — ἄνθρωπος om. Vind. et E, ubi male sequitur ἄλλως). ζητεῖ δὲ (sic pergit Vind.) ὁ Ἀριστοτέλης, διὰ τί τὴν Καλυψὼ καὶ τὴν Κίρκην καὶ τὴν Ἰνὼ αὐδηέσσας λέγει μόνας· πᾶσαι γὰρ καὶ αἱ ἄλλαι φωνὴν εἶχον. καὶ λῦσαι μὲν οὐ βεβούληται (βούλεται QE et Vind.), μεταγράφει δὲ ποτὲ μὲν εἰς τὸ αὐλήεσσα, ἐξ οὗ δηλοῦσθαί φησιν ὅτι μονώδεις ἦσαν· ἐπὶ δὲ τῆς Ἰνοῦς οὐδήεσσα (codd. αὐδήεσσα, etiam Vind.). τοῦτο (ἐκεῖνο Vind. et E) γὰρ πάσαις ὑπῆρχεν αὐταῖς καὶ μό-

ναις· πᾶσαι γὰρ αὗται ἐπὶ γῆς (ἐπὶ αὐλὰς Vind. et E) ᾤκουν. μήποτε δὲ τὸ αὐδήεσσα οὐ τὸ φωνῇ μόνον (μόνῃ QTP) χρῆσθαι (κεχρῆσθαι QP) δηλοῖ, ὡς τὸ «αὐδήεντα δ' ἔθηκε» (Il. τ, 407), σημαίνει δὲ καὶ τὸν ἔνδοξον καὶ ἐπίφημον. καὶ ἑκάστη δὲ τούτων ἔνδοξος, ὥσπερ ἡ Ἰνώ· ὅτε γὰρ ἐν ἀνθρώποις ἦν, ἔνδοξος καὶ ἐπίφημος ἐν πᾶσιν ἐτύγχανεν. In H Q P alterum scholium hoc est (quod reddit Eustathius p. 1543) ad Od. ε, 334 (p. 278, 8 D.): ὁ μὲν Ἀριστοφάνης τὰς ἀνθρωποειδεῖς θεὰς αὐδηέσσας φησὶν οἱονεὶ φωνὴν μετειληφυίας, ὁ δὲ Ἀριστοτέλης (hoc nomen etiam Eust.) οὐδήεσσαν λέγει οἱονεὶ ἐπίγειον. οὕτως καὶ Χαμαιλέων. cf. H ad κ, 136 (p. 457, 8) αὐδήεσσα: Ἀρίσταρχος (corr. Ἀριστοτέλης) οὐδήεσσα (quod proprie pertinet ad ε, 334). ibid. Q B V (Eustath. ib. p. 1651): ἤτοι περιβόητος, ἢ εἰς διάλεξιν καὶ προσαγόρευσιν ἀνθρώποις ἐρχομένην, ἢ καθὸ ἐπίγειός ἐστιν (οὐδήεσσα ἡ ἐπίγειός ποτε sch. vulg. ad ε, 334 p. 278, 6, unde huc translatum est). cf. ex Apione Apollon. lex. Hom. s. αὐδήεσσα, Etym. M. p. 169.

28. (153)

Schol. H Q p. 414, 29 Dind. et cod. Vindobon. f. 25 b ad Od. ι, 106 (principium scholii usque ad παρηλλαγμένα extat etiam in T ad ι, 311 p. 430, 18 D.) Κυκλώπων δ' ἐς γαῖαν: ζητεῖ Ἀριστοτέλης πῶς ὁ Κύκλωψ ὁ (ὁ om. Vind. et T) Πολύφημος μήτε πατρὸς ὢν Κύκλωπος· Ποσειδῶνος γὰρ ἦν· μήτε μητρός, Κύκλωψ ἐγένετο. αὐτὸς δὲ ἑτέρῳ μύθῳ ἐπιλύεται (αὐτὸς Κύκλωψ ἐγένετο. ἑτέρω μύθω ἐπιλύεται T). καὶ γὰρ ἐκ Βορέου ἵπποι γίνονται καὶ ἐκ Ποσειδῶνος καὶ τῆς Μεδούσης ὁ Πήγασος ἵππος. [τί δ' ἄτοπον ἐκ Ποσειδῶνος τὸν ἄγριον τοῦτον γεγονέναι, ὥσπερ καὶ τὰ ἄλλα ἐξ αὐτοῦ ἀναλόγως τῇ θαλάσσῃ ἄγρια γεννᾶται ἢ τερατώδη ἢ παρηλλαγμένα. γελοίως δ' αὐτοὺς ἐτυμολογεῖ Ἡσίοδος etc. quod Porphyrii Scholium esse docet eiusdem sententiae scholium nomine eius in Vindob. inscriptum (ad ι, 315 f. 29 a = sch. M p. 434, 18—21 D.). sequuntur apud Porphyrium aliae de Polyphemo quaestiones. cf. Apollon. lex. Hom. (s. ἀθεμίστων): καὶ ἔστιν ὅλος ὁ τόπος οὗτος τῶν προβλημάτων.

29. (154)

Schol. H T p. 432, 12 Dind. ad Od. ι, 345 (rectius ad ι, 333): διὰ τί Ὀδυσσεὺς πρὸς τοὺς Φαίακας ἔλεγεν ὅτι τὸν Κύκλωπα ἐτύφλωσε Ποσειδῶνος υἱὸν ὄντα, οὖσι καὶ αὐτοῖς ἀπογόνοις Ποσειδῶνος; λύων οὖν Ἀριστοτέλης φησὶν ὅτι ᾔδει ἐχθροὺς αὐτοὺς ὄντας τοῦ Κύκλωπος· ἐκβληθέντας γάρ φησιν ὑπὸ τῶν Κυκλώπων ἐλθεῖν ἐπὶ τὴν Σχερίαν (ζ, 4) «οἳ πρὶν μέν ποτ' ἔναιον … ἀλφηστάων».

Cf. Schol. Q et M (Marc. 613 bomb. sec. 14) ad *ι*, 333 p. 431, 23), item Vindob. f. 29ª ad *ι*, 315: *πῶς* (*διὰ τί* Vind.) *οὐκ ἐδεδίει τοὺς ἐκγόνους Ποσειδῶνος Φαίακας τὴν πήρωσιν λέγων Κύκλωπος; Ἀριστοτέλης οὖν φησὶν ὅτι ᾔδει ἐχθροὺς ὄντας αὐτοῖς «οἵ σφεας σινέσκοντο»* (*ζ*, 6).

30. (155)

Schol. ad Od. *ι*, 525 p. 440, 29 Dind.: *διὰ τί Ὀδυσσεὺς* (*πρὸς τὸν Κύκλωπα* add. P et M.) *οὕτως ἀνοήτως εἰς τὸν Ποσειδῶνα ὠλιγώρησεν τῷ λόγῳ εἰπών «ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' ἐνοσίχθων»* (525). *Ἀντισθένης* (sc. in dialogis a Porphyrio saepius citatis, quibus Homericas quaestiones singulares tractabat ex more Socraticorum sophistarumque et hanc quidem, ut patet, in l. *Κύκλωψ ἢ περὶ Ὀδυσσέως* DL. 6, 17) *μέν φησι διὰ τὸ εἰδέναι ὅτι οὐκ ἦν ἰατρὸς ὁ Ποσειδῶν ἀλλ' ὁ Ἀπόλλων, Ἀριστοτέλης δὲ οὐχ ὅτι οὐ δυνήσεται, ἀλλ' ὅτι οὐ βουληθήσεται διὰ τὴν πονηρίαν τοῦ Κύκλωπος* (H T Q. haec brevius ita in M f. 114ª post *ἐνοσίχθων. ἢ διὰ τὸ γινώσκειν ὡς οὐκ ἦν ἰατρὸς ἀλλ' ὁ Ἀπόλλων, ἢ ὅτι οὐ θεραπεύσει αὐτὰ διὰ τὴν πονηρίαν αὐτοῦ*). *διὰ τί οὖν ὁ Ποσειδῶν ὠργίσθη, καίτοι μὴ χαλεπαίνων διὰ τὸ ἀπόφθεγμα* (*ὠργ. μὴ διὰ τὸ ἀπ. χαλεπαίνων* M), *ἀλλὰ διὰ τὴν τύφλωσιν «Κύκλωπος γὰρ κεχόλωται ὃν ὀφθαλμοῦ ἀλάωσεν»* (Od. *α*, 69), *καὶ παμπονήρου ὄντος καὶ τοὺς ἑταίρους κατεσθίοντος; λύων δὲ ὁ Ἀριστοτέλης φησὶ* (*καὶ Ἀρ. φησὶ* M) *μὴ ταὐτὸν εἶναι ἐλευθέρῳ πρὸς δοῦλον καὶ δούλῳ πρὸς ἐλεύθερον, οὐδὲ τοῖς ἐγγὺς τῶν θεῶν οὖσι πρὸς τοὺς ἄποθεν. ὁ δὲ Κύκλωψ ἦν μὲν* (*ὁ μὲν οὖν Κ. ἦν* M) *ζημίας ἄξιος ἀλλ' οὐκ Ὀδυσσεῖ κολαστέος ἀλλὰ τῷ Ποσειδῶνι* (H T M). *ἢ* (codd. *εἰ*) *πανταχοῦ νόμιμον* (*εἰ νόμιμον* M) *τῷ διαφθειρομένῳ βοηθεῖν, τῷ υἱῷ· καὶ ἦρχον ἀδικίας οἱ ἑταῖροι* (T M).

30a. (156)

Eustath. in Od. *μ*, 62 (p. 1712 Rom. ubi de Planctis: *τῇ μέν τ' οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι τρήρωνες, ταί τ' ἀμβροσίην Διὶ πατρὶ φέρουσιν, ἀλλά τε καὶ τῶν αἰὲν ἀφαιρεῖται λὶς πέτρη*): *οἱ δὲ παλαιοὶ οὕτω τὰ τοῦ λόγου θεραπεύουσι. Χείρων ὁ Ἀμφιπολίτης Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐρωτήσαντος, φασί, τί βούλεται παρὰ τῷ ποιητῇ τὸ τὰς περιστερὰς εἰπεῖν κομίζειν ἀμβροσίαν τῷ Διὶ καὶ τὸ ἀφαιρεῖσθαί τι αὐτὰς* (corr. *τὰς πέτρας*) *καὶ τῶν πελειῶν, περὶ τῶν πλειάδων εἶναι τὸν λόγον ἔφη, ἃς εἶναι μὲν ἑπτά, φαίνεσθαι δὲ ἓξ τοῖς ἐκεῖ, τῆς μιᾶς διὰ τὸ καὶ ἄλλως ἀμυδρὸν τοῦ ἀστρίου ἀφανιζομένης ὑπὸ τῶν πετρῶν. ὡς δὲ ἡμεῖς, φησί, πελειάδων ἤτοι πλειάδων ἐπιτελλουσῶν ἀρχόμεθα θερίζειν, οὕτω καὶ θεοὶ τὴν ἀμβροσίαν κομίζεσθαι.* (inseruntur hic ab

Eustathio excerpta ex Athenaei lib. XI) ... (p. 1713:) *ἀλλ' οὕτω μὲν ὁ Ἀμφιπολίτης Χείρων. Ἀριστοτέλης* (sic Eustathius, licet Stoici cuiusdam nomen exspectaveris potius quam Aristotelis) *δέ, φασίν, ἀλληγορικῶς εἶπε δηλοῦν Ὅμηρον ἐξ ἀναθυμιάσεως τρέφεσθαι τοὺς θεοὺς ἤτοι τὰ ἄνω σώματα, ἀεροπόρον ζῷον παραλαβόντα εἰς ἔνδειξιν τῆς τοιαύτης τροφῆς. τὸ δὲ ἀφαιρεῖσθαί τι ὑπὸ τῆς πέτρας δηλοῦν ἔφη, ὡς καὶ ἡ γῆ ἕλκει ἐκ τῆς τοιαύτης ἀναθυμιάσεως. Ἀλέξανδρος δὲ ὁ βασιλεύς, διὰ τὸ δοκεῖν φύσει* (vulg. *φησὶ*) *τοὺς θεοὺς φιλοσόφους καὶ ἡδονῆς μείζους, ἀναθεῖναι τὸν ποιητὴν τὴν ἐκείνων τροφὴν τῷ ἀσθενεστάτῳ καὶ τρυφερωτάτῳ ζῴῳ, ὑφ' οὗ βραχύ τι ἂν παρακομίζοιτο.* [*ἄλλοι δὲ Δία μὲν νοοῦσι τὸν ἥλιον* etc. (hinc enim quae sequuntur physice explicata, respondent scholiis nunc servatis ad h. l. in H Q V.)

Haec ad Ptolemaei Hephaestionis figmenta pertinere docet Photius (bibl. cod. 190), qui primi novae historiae libri argumentum describens eadem memorat (p. 147, 3 Bekk.): *διὰ τί ὁ ποιητὴς πελειάδας ἐποίησε τῆς τροφῆς τῶν θεῶν διακόνους καὶ τίνα Ἀλέξανδρος ὁ βασιλεὺς καὶ Ἀριστοτέλης εἰς τοῦτο εἶπον καὶ περὶ Ὁμήρου καὶ πελειάδων* (cf. R. Hercher, über die Glaubwürdigkeit der N. G. des Ptolemaeus Chennus, N. Jahrb. f. Phil. u. Paed. Suppl. N. F. Bd. I. 1855. p. 271).

31. (157)

Schol. Vindob. (Gr. phil. 133 f. 53[b]) ad Od. μ, 128 et 129 duo habet scholia, recentissimum alterum, alterum antiquum. *βόσκοντ' ἠελίοιο βόες* (128): *ἀπόβλητον ἦν τοῖς ἀρχαίοις ἀρότην βοῦν κτείνειν. ἔπασχε γὰρ κακῶς ἐξ ἀνθρώπων ἢ θεῶν ὅστις τοῦτο πεποίηκεν. ὅπερ οἱ τοῦ Ὀδυσσέως φίλοι ποιήσαντες ἀπώλοντο. Ἀριστοτέλης φυσικῶς φησίν· λέγει γὰρ τὰς τριακοσίους τοῦ χρόνου* (i. e. anni) *ἡμέρας πρὸς ταῖς λοιπαῖς* (cf. schol. B p. 542, 4 D. item Q et M cod. f. 146[a] ubi ita: *ἑπτὰ β. ἀγ. ἀριστοτέλης φυσικῶς φησί· λέγει γὰρ τὰς κατὰ σελήνην* (*καθ' ἡμ* cum comp. cod.) *ἡμέρας πεντήκοντα πρὸς ταῖς τριακοσίαις*). — *ἑπτὰ βοῶν ἀγέλαι* (129): *Ἀριστοτέλης φυσικῶς τὰς κατὰ σελήνην ἡμέρας αὐτὸν λέγειν φησὶ τ̄ν̄* (*τὰς ν̄* Vind.) *οὔσας. τὸν γὰρ πεντήκοντα ἀριθμὸν ἑπταπλασιάσας εἰς τὸν τριακοστὸν πεντηκοστὸν περιεστάναι εὑρήσεις* (hoc etiam in Q p. 542, 8 D.).

E scholiis Eustathius p. 1717: *ἰστέον δὲ ὅτι τὰς ἀγέλας ταύτας καὶ μάλιστα τὰς τῶν βοῶν φασὶ τὸν Ἀριστοτέλην ἀλληγορεῖν εἰς τὰς κατὰ δωδεκάδα τῶν σεληνιακῶν μηνῶν ἡμέρας γινομένας πεντήκοντα πρὸς ταῖς τριακοσίαις, ὅσος καὶ ὁ ἀριθμὸς ταῖς ἑπτὰ ἀγέλαις ἐχούσαις ἀνὰ πεντήκοντα ζῷα. διὸ οὔτε γόνον αὐτῶν γίνεσθαι Ὅμηρος λέγει*

οὔτε φθοράν· τὸ γὰρ αὐτὸ ποσὸν ἀεὶ ταῖς τοιαύταις ἡμέρας μένει. cf. etiam schol. B ad μ, 128 et 353. E ad α, 8.

32. (158)

Schol. N (i. e. Marc. IX, 4 app., de quo cod. a Cobeto adhibito Dindorf praef. p. XIV) ad Od. ν extr. (p. 789 Dind.): διὰ τί Ὀδυσσεὺς τῇ μὲν Πηνελόπῃ ἡλικίαν τε ἤδη ἐχούσῃ καὶ φιλούσῃ αὐτὸν οὐκ ἐδήλωσεν ὅς ἦν, τῷ δὲ Τηλεμάχῳ νέῳ ὄντι καὶ τοῖς οἰκέταις τῷ μὲν συβώτῃ τῷ δὲ βουκόλῳ ὄντι; οὐ γὰρ δήπου μὴ πεῖραν ἐκείνης εἰληφώς. ἔστι φάναι, φησὶν Ἀριστοτέλης, ὅτι τοῖς μὲν ἔδει ὡς ἂν μετέχειν μέλλουσι τοῦ κινδύνου εἰπεῖν· ἀδύνατον γὰρ ἦν ἄνευ τούτων ἐπιθέσθαι τοῖς μνηστῆρσι. (pergit Porphyrius)... ἔστι δὲ εἰπεῖν καὶ ὅτι ηὐλαβήθη μὴ περιχαρὴς ἀκούσασα γένηται καὶ ἐπίδηλον ποιήσῃ. ἑώρα γὰρ αὐτὴν σφόδρα ἐπιθυμοῦσαν. οὐκοῦν καὶ ὁ υἱός. ἀλλ' ὁ μὲν καὶ μειδιᾶν εἴωθε καὶ ἁπλῶς διαλέγεσθαι καὶ κρατεῖν τοῦ πάθους, ἡ δὲ μόνον κλαίειν. παυσαμένης οὖν τοῦ κλαίειν μόνον, εἰ καὶ μηδεὶς ἐξεῖπεν, ὑποψία τις ἐγένετο. οὐ γὰρ ἂν προσεποιήθη δακρύειν· ἡ γὰρ χαρὰ ὑποῦσα οὐκ ἂν κρατεῖν τῆς ποιήσεως εἴασεν.

33. (159)

Schol. Vindob. (phil. 133 f. 97 a) ad Od. ρ, 326 Ἄργον δ' αὖ κατὰ μοῖρ' ἔλαβε: Ἀριστοτέλης φησὶν ὅτι πρεσβύτης ἦν ἤδη σφόδρα ὁ κύων καὶ ὑπὸ τῆς ἡδονῆς τῆς πρὸς τὸν Ὀδυσσέα ἐτελεύτησεν εἰκότως· αἱ γὰρ σφοδραὶ ἡδοναὶ καὶ ἰσχυραὶ διαλύουσι. διὸ καὶ τὸν κύνα ἐποίησεν ἀναγνωρίσαντα καὶ ἡσθέντα καταψῦξαι (-ψύξαι cod.).

34. (160)

Schol. Vindob. (phil. 133 f. 145 b) ad Od. ψ, 337 ἀλλὰ τοῦ οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν: Πορφυρίου. διὰ τί Ὀδυσσεὺς τῆς Καλυψοῦς διδούσης αὐτῷ τὴν ἀθανασίαν οὐκ ἐδέξατο; Ἀριστοτέλης μὲν οὖν πρὸς τοὺς Φαίακάς φησι ταῦτα λέγειν Ὀδυσσέα ἵνα σεμνότερος φαίνηται καὶ μᾶλλον ἀλλοῖα (ἀλ... codex litteris duabus vel tribus syllabae alterius charta perforata excisis nulloque accentu primae addito. non igitur ἄλλα vel ἄλλων) σπουδάσαι. συνέφερε γὰρ αὐτῷ πρὸς τὸ θᾶττον ἀποσταλῆναι. ἔπειτα ἔοικεν οὐ τῷ μὴ πεισθῆναι λέγειν μὴ λαβεῖν τὴν τοιαύτην δωρεάν, ἀλλὰ μὴ πιστεῦσαι αὐτῇ τοιαῦτα λεγούσῃ. ἡ μὲν γὰρ ἔφασκε ποιήσειν, ὁ δὲ οὐκ ἐπίστευεν, οὐχὶ πιστεύων παρῃτεῖτο. [εἴη δ' ἂν καὶ τοῦ σοφοῦ ἀθανασία οὐχ ἣν τοιαῦται δαίμονες χαρίσαιντο etc. quibus ipse pergit Porphyrius.

35. (161)

Phrynichus in ecloga voc. Att. ed. Hoeschel. Aug. 1601 p. 36 (cf. ed. Lobeck. Lips. 1820 p. 225) s. *βασίλισσα: οὐδεὶς τῶν ἀρχαίων εἶπεν, ἀλλὰ βασίλεια ἢ βασιλίς* (eadem Thom. Mag. ecl. voc. Att. p. 58, 13 Ritschl). — atque in (altera) epitoma quae vocatur idem p. 42 s. *βασίλισσαν Ἀλκαῖόν φασι τὸν κωμῳδοποιὸν καὶ Ἀριστοτέλην ἐν τοῖς Ὁμήρου ἀπορήμασιν εἰρηκέναι* (quam formam extare etiam addit in falsi Demosthenis or. in Neaeram) ... *τοῖς πλείοσιν οὖν πειθόμενοι βασίλειαν ἢ βασιλίδα λέγωμεν.* eadem tangit Antiatticista Bekk. Anecd. I p. 84, 26 s. *βασίλισσα: Ἀλκαῖος Γανυμήδει, Ἀριστοτέλης Ὁμηρικοῖς ἀπορήμασιν.*

Hoc uno loco ipse libri titulus citatur.

36. (162)

Athenaeus XIII p. 556[d] (e quo Eustath. in Il. p. 1361): *θαυμάσαι δ' ἄν τις, φησὶν Ἀριστοτέλης, ὅτι οὐδαμοῦ τῆς Ἰλιάδος Ὅμηρος ἐποίησε Μενελάῳ συγκοιμωμένην παλλακίδα πᾶσι δοὺς γυναῖκας. κοιμῶνται γοῦν παρ' αὐτῷ καὶ οἱ γέροντες μετὰ γυναικῶν, Νέστωρ* (cf. Il. λ, 626) *καὶ Φοῖνιξ. οὐ γὰρ ἦσαν οὗτοι ἐκλελυμένοι τοῖς σώμασιν ἐν τοῖς τῆς νεότητος χρόνοις ἢ διὰ μέθης ἢ δι' ἀφροδισίων ἢ καὶ διὰ τῆς ἐν ταῖς ἀδηφαγίαις ἀπεψίας, ὥστε εἰκότως ἔρρωνται τῷ γήρᾳ. ἔοικεν οὖν ὁ Σπαρτιάτης αἰδεῖσθαι γαμετὴν οὖσαν τὴν Ἑλένην, ὑπὲρ ἧς καὶ τὴν στρατιὰν ἤθροισε· διόπερ φυλάττεται τὴν πρὸς ἄλλην κοινωνίαν. ὁ δ' Ἀγαμέμνων ὡς πολυγύναιος ὑπὸ Θερσίτου λοιδορεῖται «πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ πρωτίστῳ δίδομεν»* (Il. β, 226). *ἀλλ' οὐκ εἰκός, φησὶν ὁ Ἀριστοτέλης, εἰς χρῆσιν εἶναι τὸ πλῆθος τῶν γυναικῶν, ἀλλ' εἰς γέρας· ἐπεὶ οὐδὲ τὸν πολὺν οἶνον εἰς τὸ μεθύειν παρεσκευάσατο.*

36a. (163)

Strabo XIII p. 598 (ex Demetrii Scepsii disputatione de Ilii veteris situ): *καὶ μὴν τόγε ναύσταθμον τὸ νῦν ἔτι λεγόμενον πλησίον οὕτως ἐστὶ τῆς νῦν πόλεως* (sc. *Ἰλίου*), *ὥστε θαυμάζειν εἰκότως ἄν τινα τῶν μὲν τῆς ἀπονοίας, τῶν δὲ τοὐναντίον τῆς ἀψυχίας· ἀπονοίας μέν, εἰ τοσοῦτον χρόνον ἀτείχιστον αὐτὸ εἶχον, πλησίον οὔσης τῆς πόλεως καὶ τοσούτου πλήθους τοῦ τ' ἐν αὐτῇ καὶ τοῦ ἐπικουρικοῦ· νεωστὶ γὰρ γεγονέναι φησὶ τὸ τεῖχος· ἢ οὐδ' ἐγένετο, ὁ δὲ πλάσας ποιητὴς ἠφάνισεν, ὡς Ἀριστοτέλης φησίν* (haec verba eis quae ex Demetrio retulit, interponere videtur ipse Strabo)· *ἀψυχίας δέ, εἰ γενομένου τοῦ τεί-*

χους ἐτειχομάχουν καὶ εἰσέπεσον εἰς αὐτὸ τὸ ναύσταθμον καὶ προσεμάχοντο ταῖς ναυσίν, ἀτείχιστον δὲ ἔχοντες οὐκ ἐθάρρουν προσιόντες πολιορκεῖν μικροῦ τοῦ διαστήματος ὄντος.

Incertus utrum de auctoris nomine dubitarem an de sede fragmenti (Rose de libr. Ar. p. 69) librique titulo, tamen haec adscripsi.

37. (164)

Plutarch. de aud. poetis 12: *οἱ δὲ παῖδες ἂν ὀρθῶς ἐκτρέφωνται τοῖς ποιήμασιν, καὶ ἀπὸ τῶν φαύλους καὶ ἀτόπους ὑποψίας ἐχόντων ἕλκειν τι χρήσιμον ἀμωσγέπως μαθήσονται καὶ ὠφέλιμον. αὐτίκα γοῦν ὕποπτός ἐστιν ὁ Ἀγαμέμνων ὡς διὰ δωροδοκίαν ἀφεὶς τῆς στρατείας τὸν πλούσιον ἐκεῖνον* (sc. *Ἐχέπωλον* Il. *ψ*, 296) *καὶ τὴν Αἴθην χαρισάμενον αὐτῷ «δῶρ', ἵνα μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν, ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκεν Ζεὺς ἄφενος». ὀρθῶς δέ γε ἐποίησεν, ὡς Ἀριστοτέλης φησίν, ἵππον ἀγαθὴν ἀνθρώπου τοιούτου προτιμήσας. [οὐδὲ γὰρ κυνὸς ἀντάξιος οὐδ' ὄνου μὰ Δία δειλὸς ἀνὴρ καὶ ἄναλκις ὑπὸ πλούτου καὶ μαλακίας διερρυηκώς.*

Cf. Schol. B ad Il. *ψ*, 297 *δῶρ' ἵνα μή οἱ ἕποιθ'*: *ἀπεσέμνυνε τὴν ἵππον οὕτως αὐτὴν εὐγενίσας ὥστε καὶ δῶρον* (*λυτρόν* V) *ἀστρατείας δοθῆναι. κρεῖττον δὲ ἡγήσατο πολεμικὴν* (-*μιστὴν* V) *ἵππον ὑπὲρ ἀπόλεμον ἄνθρωπον Ἀγαμέμνων* (cf. etiam schol. A).

38. (165)

Athen. V, 6 p. 188^{e} (in disputatione *περὶ τῶν ὁμηρικῶν συμποσίων*): *πάντα δ' ὢν ἀκριβὴς Ὅμηρος καὶ τὸ μικρὸν τοῦτο οὐ παρέλιπε τὸ δεῖν θεραπεύσαντα τὸ σωμάτιον καὶ λουσάμενον ἰέναι πρὸς τὸ δεῖπνον. ἐπὶ γοῦν τοῦ Ὀδυσσέως εἶπε πρὸ τῆς παρὰ Φαίαξι θοίνης «αὐτόδιον δ' ἄρα μιν ταμίη λούσασθαι ἄνωγεν»* (*θ*, 449). *ἐπὶ δὲ τῶν περὶ Τηλέμαχον «ἔς ῥ' ἀσαμίνθους βάντες ἐυξέστας λούσαντο»* (*δ*, 48). *ἀπρεπὲς γὰρ ἦν, φησὶν Ἀριστοτέλης, ἥκειν εἰς τὸ συμπόσιον σὺν ἱδρῶτι πολλῷ καὶ κονιορτῷ.*

Eadem Aristotelis verba (cf. Schweigh. animadv. t. III p. 12) altero etiam loco inepte exhibent Athenaei codices (V, 3 p. 187^{e}), ubi uncis ea merito inclusit Meineke. *λύσεις* autem Homericas, ne de *legibus convivalibus* Aristotelis cogites, certo fere signo prodit solenne illud *ἀπρεπές*. in scholiis nihil (cf. ad *δ*, 52 p. 177, 12 Dind.).

IV. ETHICA.

XXXI.

Τὰ ἐκ τῆς πολιτείας Πλάτωνος.

Platonis scripta varia in compendia redegisse Aristotelem perhibent indices Laertiani, Politiam (*τὰ ἐκ τῆς πολιτείας*, cf. sub Theophrasti nomine aut simile aut idem compendium apud D. L. 5, 43), Timaeum (*τὰ ἐκ τοῦ Τιμαίου*), Leges (*τὰ ἐκ τῶν νόμων*). quorum primum Ptolemaei etiam index fert (Wenrich p. 144: *compendium operis Platonici de regimine civitatum libri II.* Hadschi Khalfa V, 60 Flügel: *Libri V Ar. de administranda republica. excerpsit ibi cum delectu verba Platonis.* cf. ib. p. 142: *Ar. de voluptate libri duo, in quibus potiora quae Plato in Politia dixerat selecta tractavit*, ubi duo diversi tituli coaluerunt. sequitur enim liber de voluptate in indice Ptolemaei W. p. 145) memoratque de eodem ex antiquiore fonte unus Proclus. pertinent autem haec studia non ad Aristotelem, sed ad eos qui historiam philosophiae ab ipsa philosophia separatam primi condiderunt Theophrastum, Eudemum ceterosque Aristotelis discipulos philosophos philologos.

1. (166)

Proclus in Plat. remp. p. 350 Bas. (cf. fr. 167): *καὶ μαρτυροῦνται καὶ οὗτοι τὴν ἐπιγραφὴν* (sc. *τῆς πολιτείας*) *ἀρχαιοτάτην οὖσαν· καὶ γὰρ Ἀριστοτέλης ἐπιτεμνόμενος τὴν πραγματείαν ταύτην οὑτωσί φησιν* (in prooemio) «*ἐπιτέμνεσθαι τὴν πολιτείαν*».

XXXII.

Νόμος συσσιτικὸς ᾱ.

Convivii Peripatetici a Theophrasto, ut in testamento eius dicitur, instituti (D. L. 5, 52—53. Athen. V, 186ᵃ) *διάταξιν* describebat *νόμος*

συσσιτικός Aristoteli tributus. *νόμος συστατικός* communi codicum omnium, etiam Laurentiani, vitio legitur in indice Laertii, quod olim ex Proclo correxit Fabricius bibl. Gr. III p. 398 Harl. eodem vitio ex Laertio Hesychius *νόμων συστατικῶν α̅*, idem iterum in appendice *περὶ συσσιτίων ἢ συμποσίων*. consuetudinem potius philosophorum quam quibus ea illustratur libros tangere videtur Athenaeus V, 2 p. 186[b]: *καὶ τοῖς φιλοσόφοις δὲ ἐπιμελὲς ἦν συνάγουσι τοὺς νέους μετ᾽ αὐτῶν πρός τινα τεταγμένον νόμον εὐωχεῖσθαι. τοῦ γοῦν Ξενοκράτους ἐν ἀκαδημείᾳ καὶ πάλιν Ἀριστοτέλους συμποτικοί τινες ἦσαν νόμοι.* attamen eadem verba loco parum certo ita apposuerat epitomator I p. 3[f]: *ὅτι Ξενοκράτης ὁ Χαλκηδόνιος καὶ Σπεύσιππος ὁ ἀκαδημαικὸς καὶ Ἀριστοτέλης συμποτικοὺς* (*βασιλικοὺς* legitur in codicibus, cf. Schweigh. animadv. t. I p. 43. III p. 9) *νόμους ἔγραψαν.* ipsum autem de conviviis quomodo iis recte institutis utamur argumentum inter certos iustosque ethicae disciplinae locos exhibet Eudorus secundum Stob. ecl. II p. 50: *τῷ δὲ περὶ φιλίας* (*λόγῳ*) *κατὰ γειτνίασιν ὑπάγει τὸν περὶ ἔρωτος, τὸν περὶ συμποσίων*, secutus ille cum Peripateticis et hoc ipso Pseudaristotele (cf. Procli verba infra citata) principem Platonem, quem de syssitiorum ad rempublicam instituendam more antiquo commendatorum utilitate multis disserentem omnes novimus, in legum praecipue secundo, ubi *τὴν κατ᾽ ὀρθὸν χρείαν τῆς ἐν οἴνῳ συνουσίας* explicat, cui quidem *νόμους εἶναι δεῖ συμποτικούς* (p. 671). qualium quidem legum convivalium multos deinde libros revera editos fuisse docet meretricium illud auctoris sub Gnathaenae nomine ridentis opusculum, de quo Athenaeus XIII p. 585[b]: *ἐμμελὴς δὲ ἦν πάνυ ἡ Γνάθαινα καὶ οὐκ ἀνάστειος ἀποφθέγξασθαι· ἥτις καὶ νόμον συσσιτικὸν συνέγραψε καθ᾽ ὃν ἔδει τοὺς ἐραστὰς ὡς αὐτὴν καὶ τὴν θυγατέρα εἰσιέναι, κατὰ ζῆλον τῶν τὰ τοιαῦτα συνταξαμένων φιλοσόφων.* similis autem libri moralis titulus inter Aristotelicos extat oeconomici illius secundi ex antiqua versione latina pridem editi, quem Hesychii significare *νόμους ἀνδρὸς καὶ γαμετῆς* docui olim de Ar. l. p. 60—63.

1. (167)

Proclus in Plat. rempubl. (ed. cum Platonis opp. Bas. 1534) p. 350: *ἕτεροι δὲ οὐκ ἐλάττους τούτων οὐδὲ ἀνεχεγγυώτερα γράφοντες περὶ πολιτείας εἶναι τὴν πρόθεσιν ἀξιοῦσιν, εἰ καὶ πρότερον ζήτημα γέγονε περὶ δικαιοσύνης, οὐχ ὡς προηγούμενον ὂν ἀλλ᾽ ὡς εὐπρόσωπον τῷ περὶ πολιτείας σκέμματι παρέχον ὁδόν. καὶ μαρτυροῦνται καὶ οὗτοι τὴν ἐπιγραφὴν ἀρχαιοτάτην οὖσαν· καὶ γὰρ Ἀριστοτέλης ἐπιτεμνόμενος τὴν πραγματείαν ταύτην οὑτωσί φησιν*

«ἐπιτέμνεσθαι τὴν πολιτείαν» καὶ ἐν τῷ συσσιτικῷ τοῦτον αὐτὴν προσαγορεύει τὸν τρόπον καὶ ἐν τοῖς πολιτικοῖς ὡσαύτως καὶ Θεόφραστος ἐν νόμοις καὶ ἄλλοθι πανταχοῦ.

Ex antiquioribus Platonis commentatoribus tradita se accepisse testimonia haecce veterum Peripateticorum ipse fatetur Proclus. de qua quidem re, etiamsi non ipse monuisset, nemo dubitaret qui harum litterarum gnarus esset.

XXXIII.

(Περὶ συμβιώσεως ἀνδρὸς καὶ γυναικός.)

Gemellos libros (cf. Pseudar. oecon. 1, 2) habet Hesychii index *περὶ συμβιώσεως ἀνδρὸς καὶ γυναικός* (quem commemorat David in categ. 25[b] 7. cf. de Herodiani libro lexicologico *περὶ γάμου καὶ συμβιώσεως* Lehrs Rh. Mus. 1843 N. F. II, 121) et *νόμους ἀνδρὸς καὶ γαμετῆς* (cf. Ar. ib. 1344, 8: *νόμοι πρὸς γυναῖκα*). alteri tribuo quod in altero non extat fragmentum Clementis Alex. *νόμοι* scilicet antiqui (sec. XIII fin.) interpretis Latini opera etiam nunc servantur, de quibus vide infra in Anecdotis. cf. Rose de Ar. l. p. 60—63. 129. ad Theophrasti potius quem antea citaverat (p. 189) de nuptiis librum (*περὶ γάμου*; cuius recordatio notitiaque deprehenditur in Scipionis Africani dicto apud Caton. fr. inc. libr. 15 Jordan) quam ad Aristotelica haec (in quibus non de coniugio agitur, sed de vita coniugum) spectare videntur Hieronymi verba l. I adv. Iovin. (p. 191 t. IV, 2. Par. 1706): *scripserunt Aristoteles et Plutarchus et noster Seneca de matrimonio libros, ex quibus et superiora* (cf. p. 185 sq. 187 sq. de Socratis uxoribus p. 190) *nonnulla sunt et ista quae subiicimus.*

1. (168)

Anon. (Olympiodoreus) proleg. philos. (cod. Paris. 1939 f. 51 a): *ἔγραψε δὲ καὶ οἰκονομικὰ ὁ Ἀριστοτέλης ἐν οἷς διαλέγεται ὅτι πῶς ὀφείλει εὖ οἰκονομεῖσθαι ὁ οἶκος. ἐν οἷς καί φησιν ὅτι χρὴ συντρέχειν ἐπὶ τοῦ οἴκου ταῦτα πάντα, σχέσιν γυναικὸς πρὸς ἄνδρα, στοργὴν γονέων πρὸς τέκνα, δέος οἰκετῶν πρὸς δεσπότας καὶ ἵνα ἴσα ὦσι τὰ εἰσερχόμενα πλείω εἰσὶ τῶν ἐξερχομένων, ἀσώτως ἐστι.* (sic legitur. quorum verborum quamvis corruptorum sensus patet: *ἵνα ἴσα ὦσι τὰ εἰσερχόμενα τοῖς ἐξερχομένοις. εἰ γὰρ ... πλείω ὦσι τὰ ἐξερχόμενα τῶν εἰσερχομένων, ἄσωτός ἐστι.*)

Cf. David in categ. p. 25b 6 Br.: *ἀλλὰ μὴν καὶ οἰκονομικά εἰσιν αὐτῷ γεγραμμένα βιβλία, ὡς τὸ οἰκονομικὸν σύνταγμα καὶ περὶ συμβιώσεως ἀνδρὸς καὶ γυναικός, ἐν ᾧ λέγει ἐκ τεσσάρων σχέσεων* (de quibus cf. polit. 1, 3. 12) *συγκεκροτῆσθαι τὸν εὖ ἔχοντα οἶκον, πατρὸς πρὸς τέκνα, ἀνδρὸς πρὸς γυναῖκα, δεσπότου πρὸς δούλους, εἰσιόντων πρὸς ἐξιόντα καὶ ὡς εἴρηται ἡμῖν ἐν τοῖς τῆς Πορφυρίου εἰσαγωγῆς προλεγομένοις* (sc. in eo loco commentarii Davidis Olympiodorea pro more referentis, qui verbis ex Olympiodori recensione Parisiensi cod. 1939 supra allatis correspondet. qui quidem a Brandisio ante verba p. 16b 16 *ἰστέον δὲ* etc. omissus, hic est sec. cod. Paris. 1900 f. 36a):

ἔγραφε δὲ καὶ τὰ οἰκονομικά, ἐν οἷς περὶ διοικήσεως οἴκου διαλέγεται. ἔνθα λέγει ὅτι δεῖ τινὰ τέσσαρα συνδραμεῖν εἰς οἴκου σύστασιν, σχέσιν ἀνδρὸς πρὸς γυναῖκα, στοργὴν πατρὸς πρὸς τέκνα, δέος οἰκετῶν πρὸς δεσπότην, καὶ ἵνα ἡ σύμμετρα τὰ ἐξιόντα τοῖς εἰσιοῦσιν. ἑκατέρα (ἑκάτερα cod.) *γὰρ ἀμετρία αἰσχρά ἐστιν· ὅταν γὰρ πολλὰ εὑρεθῶσι τὰ εἰσιόντα ὀλίγα δὲ τὰ ἐξιόντα, αἰσχρόν τι συμβαίνει· ὁ γὰρ τοιοῦτος φιλάργυρος εὑρίσκεται. εἴτε πάλιν ὀλίγα εὑρεθῶσι τὰ εἰσιόντα πολλὰ δὲ τὰ ἐξιόντα, αἰσχρόν τι συμβαίνει· εὑρίσκεται γὰρ ὁ τοιοῦτος ἄσωτος.*

in eodem introductionis philos. loco eisdem fere verbis, quibus David in categ., utitur Elias (i. e. anon. Olympiodoreus cod. Par. 1977 f. 19 a—b = p. 424 ed. Cramer): *διὰ δὲ τὸ οἰκονομικὸν γέγραπται αὐτῷ ὁ οἰκονομικὸς τὸ σύνταγμα, ἐν ᾧ φησὶν ἐκ τεσσάρων σχέσεων συγκεκροτῆσθαι τὸν οἶκον, πατρὸς πρὸς τέκνα, ἀνδρὸς πρὸς γυναῖκα, δεσπότου πρὸς δούλους, εἰσιόντων πρὸς ἐξιόντα ἵνα μήτε πλείονα τὰ εἰσιόντα τῶν ἐξιόντων, φειδωλία γὰρ τοῦτο καὶ ἀνελευθερία, μήτε πλείονα τὰ ἐξιόντα τῶν εἰσιόντων, ἀσωτία γὰρ τοῦτο, ἀλλ' ἐπ' ἴσης.*

eadem denique ita exponit anonymus cod. Par. 1973 (sec. Ammonium) in prolegg. phil. f. 17b: *καὶ δηλοῖ Ἀριστοτέλης ἔν τινι αὐτοῦ μονοβιβλίῳ περὶ οἰκονομίας ἀρίστης διαλεγόμενος· καὶ λέγει ταύτην ἐκ τεσσάρων γενέσθαι σχέσεων, πατρὸς πρὸς τέκνα, δούλου πρὸς δεσπότην, γυναικὸς πρὸς ἄνδρα, εἰσιόντων πρὸς ἐξιόντα ἵνα μὴ ἐλλείπῃ μηδὲ πλεονάζῃ ἀλλὰ φυλάττῃ* (-τειν cod.) *ἀναλογίαν πρὸς ἄλληλα. εἰ γὰρ κακῶς ἔχει ὁ πατὴρ πρὸς τὸν υἱὸν καὶ ὁ ἀνὴρ πρὸς τὴν γυναῖκα ἢ ὁ δεσπότης πρὸς τὸν δοῦλον καὶ τὸ ἀνάπαλιν τὰ λοιπὰ ἐναντίως ἔχουσι πρὸς ἄλληλα, κακὸς ὁ οἶκος ἔσται ὅτι οὐ μίαν προαίρεσιν ἔχουσιν ἐν τῷ οἴκῳ πάντες ἀλλὰ διαφόρους.*

2. (199)

Clemens Alex. paedag. 3, 12 p. 111 Sylb. (I, 335 Lips.): *ἐγὼ δὲ καὶ τοῖς γεγαμηκόσι παραινέσαιμι ἂν οἴκοι τὰς γυναῖκας μήποτε κατὰ πρόσωπον οἰκετῶν φιλεῖν. οὐδὲ γὰρ προσγελᾶν δούλοις* (arridere mulieribus in servorum praesentia) *Ἀριστοτέλης εἴα ποτέ, πολλοῦ γε καὶ δεῖ κατ' ὄψιν αὐτῶν φιλοφρονούμενον φαίνεσθαι τὴν γυναῖκα. ἄμεινον δὲ οἴκοθεν ἀρξαμένους ἀπὸ τοῦ γάμου τὴν σεμνότητα ἐπιδείκνυσθαι. μεγίστη γὰρ ἡ σωφροσύνης συζυγία καθαρὰς ἡδονὰς* (v. l. *καθαρᾶς ἡδονῆς*) *ἀποπνέουσα. πάνυ γὰρ θαυμασίως ἡ τραγῳδία φησί* (Stob. flor. 67, 3) «*φεῦ φεῦ γυναῖκες* ...» *ταῦτα τῆς δικαιοσύνης τὰ παραγγέλματα καὶ παρὰ τοῖς τὴν κοσμικὴν μετιοῦσι σοφίαν ἐκφωνηθέντα οὐ παραιτητέον.*

Ad similia pudicae mulieris praecepta pertinet locus Eustathii in Od. o, 92 p. 1775 R.: *ἐν τούτοις δὲ καὶ οἰκονομικόν τι κεῖται παράγγελμα, ἔνθα τῇ τε ἀλόχῳ καὶ ταῖς δμωαῖς ἐκέλευσεν ὁ βασιλεὺς δεῖπνον ἑτοιμάσαι· διδάσκει γὰρ πραγματικῶς ὁ ποιητὴς μὴ δίχα τῆς γυναικὸς δεῖν εἶναι τὸν ἄνδρα κελεύειν* (corr. *κελεύοντα*) *ταῖς κατ' οἶκον γυναιξί. Θεόφραστος δ' ὕστερον γράψας αὐτός* (*αὐτό*?) *τε παραδέδωκεν καὶ ὡς οὐδὲ γυναιξὶν ἀνδρὸς δίχα χρὴ μετεῖναι τῆς ἀνδρωνίτιδος.*

V. PHILOSOPHICA.

XXXIV.

Περὶ ἀρχῆς.

Θεοφράστου τῶν μετὰ τὰ φυσικά libello notum est in codicibus quibusdam haec subscribi: τοῦτο τὸ βιβλίον Ἀνδρόνικος μὲν καὶ Ἕρμιππος ἀγνοοῦσιν· οὐδὲ γὰρ μνείαν αὐτοῦ ὅλως πεποίηνται ἐν τῇ ἀναγραφῇ τῶν Θεοφράστου βιβλίων. Νικόλαος δ' ἐν τῇ θεωρίᾳ τῶν Ἀριστοτέλους μετὰ τὰ φυσικὰ μνημονεύει αὐτοῦ, λέγων εἶναι Θεοφράστου. εἰσὶ δὲ ἐν αὐτῷ οἷον προδιαπορίαι τινὲς ὀλίγαι τῆς ὅλης πραγματείας. Andronicus igitur in Theophrasteorum indice — ad hunc unum enim, qui ipse Hermippum citaverit in vita Theophrasti a scholii istius auctore certe non adhibita libros Theophrasteos passim memorantem (cf. Rose de libr. Ar. p. 31), titulus ille pertinet utpote recentiorem studiorumque Aristotelicorum instauratorem — quum non citaverit librum illum metaphysicum (Aristotelis metaphysica vulgo praecedentem, velut etiam nunc in cod. Marc. 211 et Vindob. phil. 34, in quibus post Ar. phys., de coelo, de gen. et corr., meteor. sequitur Θεοφράστου τῶν μετὰ τὰ φυσικά. econtra inter libros Theophrasteos minores legitur in Marc. 260), citavit procul dubio inter Aristotelica. et sane quidem in indicibus Diogenis, qui ex Androniceis derivati sunt, Theophrasti liber non memoratur, memoratur Aristotelis. verum enim et antiquum libri titulum fuisse περὶ ἀρχῆς (vel περὶ ἀρχῶν), qualis legitur in indice librorum Aristotelis (D. L. 5, 23, cf. Hesych. περὶ ἀρχῶν ἢ φύσεως α̅), docet antiqua seculi XIII versio latina quae inter varia Aristotelis opuscula in Manfredi regis gratiam, quem multos libros e Graeco transferendos curasse peritis constat, a Bartholomaeo de Messana conversa (de mirabilibus auditionibus, de physiognomonia, de signis — reliqua interpretis nomine carent —) fertur in cod. S. Antonii Patavino 370 (membr. sec. 13/14 quem postquam commemoravit huius bibliothecae custos Minciotti, Catalogo dei codici mss. esistenti nella bibliotheca di S. Antonio di Padova, Pad. 1842 p. 99, ipse versavi a. 1857)

sic inscripta: *Incipit liber aristotilis de principiis translatus de greco in latinum a magistro bartholomeo de messana in curia illustrissimi maynfredi serenissimi regis sicilie scientie amatoris de mandato suo.* cuius haec prima verba ut leguntur in codice speciminis loco afferam: *Quomodo determinare oportet et quibus speculationem que est de primis que enim utique est. natura multiplex est. et ut quidam utique aiunt ingenita tamen inmutationes habens omnimodas que autem est primorum determinata et semper secundum eadem est quod utique et in intelligibilibus non sensibilibus ipsam posuerunt* . . . desinit autem post 9⅓ columnas (in fol.) ita: *nisi si quis huius modi accipiat formas quales democritus suponit atomorum sed de hiis perscruptandum templandum quod in principium dictum quendam accipere terminum et in natura et in universi substantia et huius modi causa et in melius motus hic est principium universi considerationis in quibus entia et quomodo se habent ad invicem. Explicit.* itaque hic incerti aucloris liber περὶ ἀρχῶν vel περὶ ἀρχῆς eis adnumerandus est, qui duplici varioque titulo inscribebantur Ἀριστοτέλους ἢ Θεοφράστου. simile autem alterum exemplum extare puto libelli inter Aristoteleos nunc etiam vulgati περὶ ἀρετῶν καὶ κακιῶν (p. 1249—51 Bekk. Ἀριστοτέλους περὶ ἀρετῆς Stob. flor. 1, 18), quem virtutum definitiones et descriptiones ex ethicis Platoni et academiae accommodatis excerptas breviter proponentem, inter Theophrasteos non meliore quidem iure recensere videtur Andronicus Favorini apud D. L. 5, 42: ἀρετῶν διαφοραί ᾱ (a cuius ratione diversus erit περὶ ἀρετῆς ᾱ 5, 46).

Ceterum adnotandum est ab auctore antiquae versionis latinae e graeco factae metaphysicorum Aristotelis notam illam inter libri Theophrastei finem principiumque Aristotelei positam ita fuisse intellectam, ut non ad praecedens opus Theophrasti pertineret sed ad sequens Aristotelis. etenim in cod. Laur. lat. XII sin. 7 praemitti ait Bandini (catal. codd. lat. t. IV p. 98) metaphysicorum libro I sequens monitum rubrica exaratum: *Hunc librum primum Omnes homines natura scire etc. Andronicus Hemippus* (sic) *ignorant. neque enim ipsius memoriam faciunt omnino in enumeratione librorum Aristotelis* (sic). *Nicolaus autem in theorica metaphysicae Aristotelis memorat ipsius, dicens eum esse Theophrasti. et stylus eius in Graeco non assimilatur stylo Aristotelis. quia tamen vulgus habet eum pro libro Aristotelis et Olympiodorus in commento super Gorgiam Platonis* (p. 16 cod. Bas. s. p. 120 Jahnii) *inducit quaedam verba ipsius tanquam sint Aristotelis, nolumus eum a metaphysica Aristotelis hic deesse.* quae ultima de suo addidit

interpres, cuius errore comparato explicari videtur Alberti Magni sententia, qui metaphysici operis principium ideo apud Arabes non haberi coniiceret, quia ad Theophrastum auctorem referri primum librum accepissent (Jourdain, Rech. p. 38, 177 et 357. cf. de quinti physicorum fine Thomas ap. Jourdain p. 396).

(170)

Propter argumenti similitudinem subiicio incertae sedis fragmentum ex scholiis quibusdam in Proverbia Salomonis haustum, quae post Olympiodori comm. in Ecclesiastem, brevi tantum lemmate proposito, habentur in antiquo cod. membr. Paris. 174 f. 45ª—48ᵇ quorumque nonnullis, ab initio maxime (usque ad f. 46ᵇ), adscribuntur in margine nomina auctorum quibus debentur. primum est hoc f. 45ª: *τοῦ ἁγίου βασιλείου, ἐκ τοῦ τῶν παροιμιῶν λόγου* (Basil. opp. ed. Garnier. Par. 1839 t. II p. 136): — *τί ἐστι παροιμία. παροιμία ἐστὶν παίδευσις ἠθῶν καὶ παθῶν ἐπανόρθωσις.* sequuntur alia, *διδύμου, εὐαγρίου, παλλαδίου*, et hoc etiam Aristotelis (f. 46ª):

ἀριστοτέλους· ἡ ἀρχὴ ἢ μία ἢ πολλαί. καὶ εἰ μὲν μία ἔχομεν τὸ ζητούμενον. εἰ δὲ πολλαὶ ἢ τεταγμέναι ἢ ἄτακτοι. ἀλλ' εἰ μὲν ἄτακτοι, ἀτακτότερα τὰ ἐξ αὐτῶν. καὶ οὐκ ἐστὶ κόσμος ὁ κόσμος. ἀλλ' ἀκοσμία. καί ἐστι τὸ παρὰ φύσιν τοῦ κατὰ φύσιν μὴ ὄντος. εἰ δὲ τεταγμέναι. ἢ ἐξ ἑαυτῶν ἐτάχθησαν. ἢ ὑπὸ ἔξωθεν τινὸς αἰτίας. ἀλλ' εἰ μὲν ὑφ' ἑαυτῶν ἐτάχθησαν. ἔχουσί τι κοινὸν τὸ συνάπτον αὐτὰς κἀκεῖνο ἡ ἀρχή:

haec Academicorum potius sapiunt dialecticam, e dialogo quodam fortasse sumpta. quod ad *τὸ συνάπτον* illud cf. Theophr. metaph. in. (p. 308, 7 ed. Brandis) *ἀρχὴ δὲ ποτέρα συναφή τις καὶ οἷον κοινωνία πρὸς ἄλληλα* etc.

XXXV.

Περὶ ἰδεῶν.

In duobus libris de ideis (*περὶ ἰδεῶν* vel *εἰδῶν* Alex. Syr. = *περὶ ἰδέας α̅* D. L. et Hes., Ptolemaeus W. p. 144 *de ideis utrum existant nec ne libri III.* item apud Hadschi Kh. V, 109 *Ar. libri specierum tres utrum existant nec ne.* cf. etiam Theophrasti *περὶ εἰδῶν α̅ β̅* D. L. 5, 43. nihil huc facit alius Ar. titulus apud D. L. qui ad propriam Ar. logicam pertinet *περὶ εἰδῶν καὶ γενῶν α̅*, cui subiicitur *περὶ ἰδίων α̅*, vel ut est in

Laur. aliisque *περὶ εἰδῶν καὶ γενῶν. περὶ ἰδίων α̅*, de genere specie et proprio I W. Burley = Hes. *περὶ εἰδῶν*) metaphysicorum Aristotelis commentatores acceperant tractari quae pro ideis et contra ideas argumenta in scholis Platonicorum (cf. Speusippi *περὶ γενῶν καὶ εἰδῶν παραδειγμάτων* et Xenocratis *περὶ εἰδῶν α̅, περὶ ἰδεῶν α̅, περὶ γενῶν καὶ εἰδῶν α̅* apud D. L. 4, 5. 12. 13) et qui his adversarentur philosophorum vel eristicorum sophistarumve (velut Polyxeni illius quem Phanias memoravit Alex. p. 62, 28) exagitata essent. quos libros ne Alexandrum quidem adhibuisse, qui ter eos unusque fere citavit, quicunque commentarium eius ad primi metaphysicorum capitulum nonum diligenter pertractavit iterumque et iterum retractavit, ei pro certo constabit (cf. Rose p. 83). nihil enim is quum aliorum quoque commentatorum vestigiis insisteret (cf. p. 74, 18 *ὥς τινες ἤκουσαν*. 77, 30 *διὸ οὐδὲ ὑπεμνηματίσαντο αὐτήν*. unum nomine citat Aspasium p. 44, 22. 340, 10) aliud egit nisi ut ea quae inde ab ipso Platone in scholis exponi solebant (cf. etiam Alcin. dogm. Pl. c. 9. Sext. p. 533, 13 sqq.) argumenta antiquitus tradita tritaque ad eos locos afferret, quibus aut notas quasdam demonstrationes refutationesque verbo tetigisset Aristoteles aut similia multa excogitari posse professus ipse narrare supersedisset. atque haec quidem quae ille omiserat quum suum esse duxisset Alexander exemplis congestis illustrare, similia interdum in Aristotelis de ideis libris contendit contineri, ita tamen ut quae illico daret ipse, de suo dare videretur, non ut propria Aristotelis verba se fingeret exscribere (cf. *οἷος εἴη ἄν* p. 58, 27—31. — *ὧν δὲ νῦν μνημονεύειν ἔοικε λόγων εἰσὶ τοιοῦτοι* 59, 7—31, ubi cf. v. 17 *οἱ δὴ τοιοῦτοι λόγοι τὸ μὲν προκείμενον οὐ δεικνύουσι* etc. ex Ar. p. 990ᵇ 11, cf. Alex. p. 58, 31. — *χρῶνται καὶ τοιούτῳ λόγῳ εἰς κατασκευὴν τῶν ἰδεῶν* 59, 32—60, 5, ubi cf. sqq. — *ὁ λόγος ὁ ἀπὸ τοῦ νοεῖν κατασκευάζων τὸ εἶναι ἰδέας τοιοῦτός ἐστιν* 60, 32—61, 3. — *ὁ μὲν καὶ τῶν πρός τι κατασκευάζων ἰδέας λόγος τοιοῦτός ἐστιν* 61, 9—27. — *ὁ δὲ λόγος ὁ τὸν τρίτον ἄνθρωπον εἰσάγων τοιοῦτος* 62, 12—63, 16, in quibus et Phaniam et Eudemum et Aristotelem iuxta citat. — *τοιοῦτοί τινές εἰσιν οἱ λόγοι οἱ διὰ τῆς τῶν ἰδεῶν θέσεως τὰς ἀρχὰς αὐτῶν ἀναιροῦντες πρὸς τοῖς προειρημένοις* 64, 15—65, 1 ad Ar. 990ᵇ 21: *καὶ πάνθ' ὅσα τινὲς ἀκολουθήσαντες ταῖς περὶ τῶν ἰδεῶν δόξαις ἠναντιώθησαν ταῖς ἀρχαῖς*. — *τὸ δὲ «καὶ ἄλλα μυρία συμβαίνει» εἶπεν, ἐπεὶ καὶ ἄλλοι τινές εἰσι λόγοι δεικνύναι βουλόμενοι τὰς ἰδέας ... εἰσὶ δὲ καὶ ἄλλοι πλείους τοιοῦτοι λόγοι* 65, 13—24. — *δεδειγμένου δὲ τούτου προσθείη ἄν τις τούτῳ* 67, 23—68, 18. — *ῥᾴδιόν φησιν εἶναι συναγαγεῖν πολλὰ καὶ ἀδύνατα ἑπόμενα τῇ δόξῃ τῇδε. εἴη δ' ἂν τοιαῦτα ... καὶ ὅσα ἄλλα ἐν τῷ β̅ περὶ*

ἰδεῶν 72, 15—73, 11. — *ὅτι γὰρ μὴ πρὸς παράδειγμά τι καὶ ἰδέαν γίνεταί τι ἢ γέγονε τῶν φύσει συνεστώτων, δεῖξαι τις ἂν καὶ διὰ τοιούτου λόγου* 76, 13—77, 28. — *πολλά φησι συμβήσεσθαι ἄτοπα, ἃ οὐκ ἐπήνεγκεν ὡς ὄντα γνώριμα … τοιαῦτα μὲν τὰ ἄτοπα* 82, 9—20. cf. 81, 24—32. 92, 22—93, 5. — *ἐπειρῶντο δὲ καὶ ἐκθέσει τινὶ χρώμενοι πάντα εἰς τὸ ἕν τε καὶ τὴν οἰκείαν οὐσίαν ἀνάγειν, ὁ δὲ τρόπος αὐτοῖς τῆς ἐκθέσεως ἦν τοιοῦτος* 91, 10—92, 3. cf. vulgare illud apud Alexandrum et Aspasium *ὃ δὲ λέγει τοιοῦτόν ἐστι* 88, 4 sive *ὁ λόγος τοιοῦτος* 94, 18. 95, 10 etc.). in quibus explicandis quum uno certe loco non solum Aristotelem sed Eudemum etiam et Phaniam testes faciat, non intelligitur cur, siquidem, quod nego, ex ipsis fontibus antiquis ea hausta sint, in ceteris quoque Aristoteles potius exscriptus esse existimetur quam Eudemus, et cur unus potius quam simul plures. itaque sic statuo, vulgaria atque scholastica argumenta reddidisse Alexandrum singulis quibusdam certorum auctorum testimoniis distincta, quibus si ipse usus fuisset non dubito quin accuratiorem diligentioremque mentionem eorum fecisset, in quibus cum metaphysicorum argumentis aut conveniant aut ab iis dissentiant. at nihil fere recentioribus videtur notum fuisse quam quod et Syrianus et ex Alexandro Ephesius repetunt, *σχεδὸν ταὐτά* in libris de ideis retractari quam quae in metaphysicis. duos fuisse libros (neque eos dialogis adnumerandos, id quod ex polemica materiae ratione efficitur) iidem fatentur illi, ita ut quod semel legitur *ἐν τῷ τετάρτῳ* librarii errore natum sit (cf. Rose l. c.) *ἐν τῷ δ̄* legentis pro *ἐν τῷ ᾱ*. ipsum denique Aristotelem tales olim libros condidisse antequam metaphysica ederet, quis putaverit qui uberiorem de similibus disputationem cum contemtu quodam recusantem legerit itaque recusantem ut plura de iisdem facili opera posse colligi praedicaret potius quam ab ipso olim collata esse uno verbo confiteretur. quae ipsa magistri verba respexisse putandus est qui metaphysicorum hoc contra ideas capitulum singulari opere et quasi quodam supplemento retractavit.

1. (171)

Syrian. in metaph. (*μ*, 5. 1080, 9: *ἀλλὰ περὶ μὲν τῶν ἰδεῶν καὶ τοῦτον τὸν τρόπον καὶ διὰ λογικωτέρων καὶ ἀκριβεστέρων λόγων ἔστι πολλὰ συναγαγεῖν ὅμοια τοῖς τεθεωρημένοις*. quae verba post ea quae ex *α*, 9 exscripsit Pseudaristoteles ex imitatione eorum posita sunt quae illic leguntur p. 991, 18 *ῥᾴδιον γὰρ συναγαγεῖν πολλά* etc. ibi Alexander mentionem similiter fecerat librorum de ideis) p. 301, 33 Br. (sch. in met. Berol. 1837. cf. apud Ravaisson, essai sur la mét. I p. 75 ex cod.

Par. 1895): *ὅτι μὲν τούτων οὐδὲν πλέον εἰπεῖν ἔχει πρὸς τὴν τῶν εἰδῶν ὑπόθεσιν δηλοῖ καὶ τὸ πρῶτον ταύτης τῆς πραγματείας βιβλίον καὶ τὰ περὶ τῶν εἰδῶν αὐτῷ πεπραγματευμένα δύο βιβλία· σχεδὸν γὰρ ταὐτὰ ταῦτα πανταχοῦ τὰ ἐπιχειρήματα μεταφέρων καὶ ποτὲ μὲν αὐτὰ κατακερματίζων καὶ ὑποδιαιρῶν ποτὲ δὲ συντομώτερον ἀπαγγέλλων πειρᾶται τοὺς πρεσβυτέρους ἑαυτοῦ φιλοσόφους εὐθύνειν.*

Syrian. in met. (ν, 6. 1093ᵇ24: *τὰ μὲν οὖν συμβαίνοντα ταῦτά τε κἂν ἔτι πλείω συναχθείη*) cit. apud Brandis. de perd. Ar. l. p. 14: *ταῦτά ἐστιν ἃ ἐν τούτοις ἀντιλέγει ταῖς τῶν Πυθαγορείων καὶ Πλατωνικῶν ἀνδρῶν θεωρίαις, ἃ δὴ περιέχει καὶ τὰ ἐν τῷ μείζονι τῶν ᾱ ῥηθέντα, ὡς καὶ ὁ ὑπομνηματιστὴς Ἀλέξανδρος ὑπεσημήνατο. διὸ καὶ ἡμεῖς τούτοις ἐπιστήσαντες οὐδ' ἐκεῖνα* (scil. in l. ᾱ commentarium non scripserat Syrianus, sed tantum in β̄, γ̄, μ̄, ν̄) *παραλελοιπέναι νομίζομεν, οὐ μὴν οὐδ' ὅσα ἐν τοῖς περὶ εἰδῶν δύο βιβλίοις πρὸς αὐτοὺς εἴρηκε· σχεδὸν γὰρ κἀκεῖ τὰ αὐτὰ ταῦτα ἀνακυκλοῖ.* eadem ad h. l. ex eodem Alexandro Ephesius quoque repetit p. 815, 15 Bon.: *τὰ μὲν οὖν συμβαίνοντα . . . τὰ ῥηθέντα ἐστί, καὶ ἔτι πλείω τούτων συναχθείη, τὰ περὶ τῶν εἰδῶν γραφέντα αὐτῷ δύο βιβλία, ἄλλα ὄντα παρὰ τὸ μ̄ καὶ ν̄ καὶ ἐκτὸς τῆς μετὰ τὰ φυσικὰ συντάξεως* (ex Ephesio similiter Pseudophiloponus in met. f. 67ᵇ apud Ravaisson I p. 75).

2. (172)

Schol. ad Dionys. Thrac. gramm. (Stephani philosophi, cf. fin. proleg. p. 673 et schol. Steph. cit. p. 743. 759. 817. 868 sqq.) in Bekkeri Anecd. Gr. t. II p. 660, 32 (ex ms. cit. Fabric. B. G. III, 395 H.): *Ἰστέον δὲ ὅτι οἱ ὅροι τῶν καθόλου καὶ ἀεὶ μενόντων εἰσίν, ὡς καὶ Ἀριστοτέλης εἴρηκεν ἐν τῷ* (corr. *τοῖς*) *περὶ ἰδεῶν ἃ πρὸς τὰς Πλάτωνος ἰδέας ἐστὶν αὐτῷ πεποιημένα. τὰ μὲν μερικὰ πάντα μεταβάλλουσι καὶ οὐδέποτε ὡσαύτως ἔχουσι, τὰ δὲ καθόλου ἄτρεπτα καὶ ἀίδιά ἐστιν. ἃ δὴ συλλαβὼν ὁ τεχνικὸς ὁρίζεται, οἷον . . .*

Haec ex metaphysicorum commentario quodam fluxisse advertit Bournot (Platon. Ar. opusc. p. 5), qui comparat Asclepii comm. ad locum illum de Platonicorum argumentorum vi atque pretio in met. α, 9. 990ᵇ10 (*ἐξ ἐνίων μὲν γὰρ οὐκ ἀνάγκη γίγνεσθαι συλλογισμόν*) ab Alexandro multo brevius (p. 58, 26—31) absolutum. utriusque verba iam digna videntur quae excerpantur. Asclepius (ex Ammonio) p. 563, 23 Br. (cit. Brandis de perd. Ar. l. p. 15): *τέσσαρα οὖν αἴτια ὑπάρχουσι τὰ δεικνύντα ὅτι αἱ ἰδέαι ὑπάρχουσιν, ἀλήθεια, μονὴ καὶ μνήμη, ἀριθμός,*

καὶ ὁρισμός. ἐκ μὲν οὖν τῆς ἀληθείας οὕτω κατεσκεύαζον ὅτι ὑπάρχουσιν αἱ ἰδέαι. ἔλεγον γὰρ οὕτως ὅτι ἐνταῦθα οὐκ ἔστι καθαρὰ αλήθεια, ἀλλ' ἔχει μεμιγμένον τὸ ψεῦδος καὶ οὐκ ἔστιν ἀλήθεια. ὡμολόγηται δὲ ὅτι ἔστιν ἀλήθεια· ἐὰν γὰρ μὴ ᾖ ἀλήθεια, οὐδ' ἄλλο τί ἐστιν, εἴ γε ἐκ τῆς ἀληθείας τὰ ἄλλα προέρχεται. φανερὸν οὖν ὅτι ὑπάρχουσιν αἱ ἰδέαι· παρ' αὐταῖς γὰρ σώζεται τὸ ἀμιγὲς καὶ καθαρὸν πάντων τῶν πραγμάτων, ὥστε καὶ ἡ κυρίως ἀλήθεια. πάλιν δέ φασιν ὅτι εἰ μὴ ἔστιν ἐνταῦθα μονὴ μηδὲ καθαρὰ μνήμη διὰ τὸ ῥευστὸν τῆς ὕλης· ἡ γὰρ ῥεῦσις αὕτη οὐκ ἐᾷ μόνιμον εἶναι καὶ στάσιμον τὴν μνήμην· ἔστι δὲ ὁμολογουμένως καθαρὰ μνήμη καὶ εἰλικρινὴς καὶ ἀθόλωτος καὶ ἀεὶ ὡσαύτως ἔχουσα, ἔστιν ἄρα ἰδέα μνήμης παρὰ τῷ δημιουργῷ, ἐπειδὴ καὶ δεῖ εἶναι τὴν ὄντως μνήμην, ἐξ ἧς πᾶσι τοῖς ἄλλοις τὸ εἶναι. ἔπειτα καὶ ἐκ τῶν ἀριθμῶν. εἰ γὰρ τὰ ἐνταῦθα πάντα ἀριθμητὰ ὑπάρχουσιν, εἰσὶ δὲ καὶ ἀριθμοὶ αὐτοὶ καθ' αὑτοὺς μετροῦντες τὰ ἀριθμητά, ἐπεὶ οὐδὲ ἀριθμητὰ ὑπάρχουσι μὴ ὄντων τῶν ἀριθμῶν τῶν ἀριθμούντων, φανερὸν ὅτι ὑπάρχουσιν ἰδέαι· οἱ γὰρ κυρίως ἀριθμοὶ οἱ μετρητικοὶ παρὰ τῷ δημιουργῷ ὑπάρχουσιν. πάλιν δὲ καὶ ἐκ τῶν ὁρισμῶν. τὰ γὰρ ἐνταῦθα ἀόριστα ὑπάρχουσιν, οἱ δὲ κυρίως ὅροι τῶν ἀιδίων πραγμάτων ὑπάρχουσι καὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων καὶ μὴ ποτὲ μὲν ὄντων ποτὲ δὲ μὴ ὄντων, τὰ δὲ ἐνταῦθα τοιάδε· εἰ οὖν ὑπάρχουσιν ὁρισμοί, φανερὸν ὅτι καὶ ἰδέαι ὑπάρχουσι. cf. Alexander p. 58, 26—31: ἢ τινας τῶν λεγομένων λόγων ὑπ' αὐτῶν ὡς τέλειον ψευδεῖς καὶ μηδὲν δεικνύντας αἰτιᾶται, οἷος εἴη ἂν ὁ λέγων εἰ ἔστι τι τἀληθές, εἴη ἂν τὰ εἴδη· τῶν γὰρ ἐνταῦθα οὐδὲν ἀληθές. καὶ εἰ μνήμη ἔστιν, ἔστι τὰ εἴδη· ἡ γὰρ μνήμη τοῦ μένοντος. καὶ ὁ τὸν ἀριθμὸν ὄντος εἶναι λέγων, ταῦτα δὲ οὐκ ὄντα, εἰ δέ, τῶν εἰδῶν· ἔστιν ἄρα τὰ εἴδη. ὁμοίως δὲ καὶ ὁ τοὺς ὁρισμοὺς τῶν ὄντων εἶναι λέγων, τούτων δὲ μηδὲν εἶναι. οἱ δὲ τοιοῦτοι λόγοι ψευδεῖς τε καὶ τὸ δέον οὐδὲν δεικνύντες· διὸ τῶν μὲν τοιούτων οὐδενὸς μνημονεύει νῦν, εὐθύνει δέ τινας τῶν δοκούντων τι δεικνύναι (v. fr. 3).

3. (173)

Alexander ad Ar. metaph. (1, 9. 990b10 ubi post verba in fr. 2 illustrata: ἔτι καθ' οὓς τρόπους δείκνυμεν ὅτι ἔστι τὰ εἴδη, κατ' οὐθένα φαίνεται τούτων· ἐξ ἐνίων μὲν γὰρ οὐκ ἀνάγκη γίγνεσθαι συλλογισμόν — pergit ita: ἐξ ἐνίων δὲ καὶ οὐχ ὧν οἰόμεθα τούτων εἴδη γίγνεται. κατά τε γὰρ τοὺς λόγους τοὺς ἐκ τῶν ἐπιστημῶν εἴδη ἔσται πάντων ὅσων ἐπιστῆμαί εἰσι, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν καὶ τῶν ἀποφάσεων, κατὰ δὲ τὸ νοεῖν τι φθαρέντος τῶν φθαρτῶν· φάντασμα γάρ τι τού-

των ἐστίν) p. 59, 6: πλεοναχῶς μὲν ταῖς ἐπιστήμαις πρὸς τὴν τῶν ἰδεῶν κατασκευὴν προσεχρήσαντο, ὡς ἐν τῷ πρώτῳ περὶ ἰδεῶν λέγει. ὧν δὲ νῦν μνημονεύειν ἔοικε λόγων εἰσὶ τοιοῦτοι. εἰ πᾶσα ἐπιστήμη πρὸς ἕν τι καὶ τὸ αὐτὸ ἐπαναφέρουσα ποιεῖ τὸ αὑτῆς ἔργον καὶ πρὸς οὐδὲν τῶν καθ' ἕκαστον, εἴη ἄν τι ἄλλο καθ' ἑκάστην παρὰ τὰ αἰσθητὰ ἀίδιον καὶ παράδειγμα τῶν καθ' ἑκάστην ἐπιστήμην γινομένων· τοιοῦτον δὲ ἡ ἰδέα. ἔτι ὧν ἐπιστῆμαί εἰσι, ταῦτα ἔστιν· ἄλλων δέ τινων παρὰ τὰ καθ' ἕκαστά εἰσιν αἱ ἐπιστῆμαι, ταῦτα γὰρ ἄπειρά τε καὶ ἀόριστα, αἱ δὲ ἐπιστῆμαι ὡρισμένων (-μένον codd.)· ἔστιν ἄρα τινὰ παρὰ τὰ καθ' ἕκαστα, ταῦτα δὲ αἱ ἰδέαι. ἔτι εἰ ἡ ἰατρικὴ οὐκ ἔστιν ἐπιστήμη τῆσδε τῆς ὑγιείας ἀλλ' ἁπλῶς ὑγιείας, ἔσται τις αὐτουγίεια· καὶ εἰ ἡ γεωμετρία μή ἐστι τοῦδε τοῦ ἴσου καὶ τοῦδε τοῦ συμμέτρου ἐπιστήμη ἀλλ' ἁπλῶς ἴσου καὶ ἁπλῶς συμμέτρου, ἔσται τι αὐτόισον καὶ αὐτοσύμμετρον, ταῦτα δὲ αἱ ἰδέαι. οἱ δὴ τοιοῦτοι λόγοι τὸ μὲν προκείμενον (ut ait ipse p. 990b11) οὐ δεικνύουσιν, ὃ ἦν τὸ ἰδέας εἶναι, ἀλλὰ δεικνύουσι τὸ εἶναί τινα παρὰ τὰ καθ' ἕκαστα καὶ αἰσθητά. οὐ πάντως δέ, εἴ τινα ἔστιν ἅ εἰσι παρὰ τὰ καθ' ἕκαστα, ταῦτά εἰσιν ἰδέαι· ἔστι γὰρ παρὰ τὰ καθ' ἕκαστα τὰ κοινά, ὧν φαμὲν καὶ τὰς ἐπιστήμας εἶναι . . . (p. 59, 32) χρῶνται δὲ καὶ τοιούτῳ λόγῳ εἰς κατασκευὴν τῶν ἰδεῶν. εἰ ἕκαστος τῶν πολλῶν ἀνθρώπων ἄνθρωπός ἐστι καὶ τῶν ζώων ζῷον καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ οὐκ ἔστιν ἐφ' ἑκάστου αὐτῶν αὐτὸ αὑτοῦ τι κατηγορούμενον, ἀλλ' ἔστι τι ὃ καὶ πάντων αὐτῶν κατηγορεῖται οὐδενὶ αὐτῶν ταὐτὸν ὄν, εἴη ἄν τι τούτων παρὰ τὰ καθ' ἕκαστα ὄντα ὂν κεχωρισμένον αὐτῶν ἀίδιον· ἀεὶ γὰρ ὁμοίως κατηγορεῖται πάντων τῶν κατ' ἀριθμὸν ἀλλασσομένων. ὃ δὲ ἕν ἐστιν ἐπὶ πολλοῖς κεχωρισμένον τε αὐτῶν καὶ ἀίδιον, τοῦτ' ἐστὶν ἰδέα· εἰσὶν ἄρα ἰδέαι. τοῦτόν φησι τὸν λόγον κατασκευάζειν ἰδέας καὶ τῶν ἀποφάσεων . . . (p. 60, 32) ὁ λόγος ὁ ἀπὸ τοῦ νοεῖν κατασκευάζων τὸ εἶναι ἰδέας τοιοῦτός ἐστιν. εἰ ἐπειδὰν νοῶμεν ἄνθρωπον ἢ πεζὸν ἢ ζῷον, τῶν ὄντων τέ τι νοοῦμεν καὶ οὐδὲν τῶν καθ' ἕκαστον, καὶ γὰρ φθαρέντων τούτων μένει ἡ αὐτὴ ἔννοια, δῆλον ὡς ἔστι παρὰ τὰ καθ' ἕκαστα καὶ αἰσθητά, ὃ καὶ ὄντων ἐκείνων καὶ μὴ ὄντων νοοῦμεν· οὐ γὰρ δὴ μὴ ὄν τι νοοῦμεν τότε. τοῦτο δὲ εἶδός τε καὶ ἰδέα ἐστίν. φησὶ δὴ τοῦτον τὸν λόγον καὶ . . . φθαρτῶν ἰδέας κατασκευάζειν etc.

4. (174)

Alexander ad Ar. metaph. (ib. v. 15—17: ἔτι δὲ οἱ ἀκριβέστεροι τῶν λόγων οἱ μὲν τῶν πρός τι ποιοῦσιν ἰδέας, ὧν οὔ φαμεν εἶναι

καθ' αὑτὸ γένος, οἱ δὲ τὸν τρίτον ἄνθρωπον λέγουσιν) p. 62, 12: *ὁ δὲ* (contra ideas) *λόγος ὁ τὸν τρίτον ἄνθρωπον εἰσάγων τοιοῦτος. λέγουσι τὰ κοινῶς κατηγορούμενα τῶν οὐσιῶν κυρίως τε εἶναι τοιαῦτα καὶ ταῦτα εἶναι τὰ ἴσα. ἔτι τὰ ὅμοια ἀλλήλοις τοῦ αὐτοῦ τινὸς μετουσίᾳ ὅμοια ἀλλήλοις εἶναι, ὃ κυρίως ἐστὶ τοῦτο· καὶ τοῦτο εἶναι τὴν ἰδέαν. ἀλλ' εἰ τοῦτο, καὶ τὸ κατηγορούμενον τινῶν κοινῶς, ἂν μὴ ταὐτὸν ᾖ ἐκείνων τινὶ ὧν κατηγορεῖται, ἄλλο τί ἐστι παρ' ἐκεῖνα, διὰ τοῦτο γὰρ γένος ὁ αὐτοάνθρωπος ὅτι κατηγορούμενος τῶν καθ' ἕκαστα οὐδενὶ αὐτῶν ἦν ὁ αὐτός, τρίτος ἄνθρωπος ἔσται τις παρά τε τὸν καθ' ἕκαστα, οἷον Σωκράτη καὶ Πλάτωνα, καὶ παρὰ τὴν ἰδέαν, ἥτις καὶ αὐτὴ μία κατ' ἀριθμόν ἐστιν . . .* (p. 62, 33) *δείκνυται καὶ οὕτως ὁ τρίτος ἄνθρωπος. εἰ τὸ κατηγορούμενον τινῶν πλειόνων ἀληθῶς καὶ ἔστιν ἄλλο παρὰ τὰ ὧν κατηγορεῖται κεχωρισμένον αὐτῶν· τοῦτο γὰρ ἡγοῦνται δεικνύναι οἱ τὰς ἰδέας τιθέμενοι, διὰ τοῦτο γάρ ἐστί τι αὐτοάνθρωπος κατ' αὐτούς, ὅτι ὁ ἄνθρωπος κατὰ τῶν καθ' ἕκαστα ἀνθρώπων πλειόνων ὄντων ἀληθῶς κατηγορεῖται καὶ ἄλλος τῶν καθ' ἕκαστα ἀνθρώπων ἐστίν· ἀλλ' εἰ τοῦτο, ἔσται τις τρίτος ἄνθρωπος. εἰ γὰρ ἄλλος ὁ κατηγορούμενος ὧν κατηγορεῖται καὶ κατ' ἰδίαν ὑφεστώς, κατηγορεῖται δὲ κατά τε τῶν καθ' ἕκαστα καὶ κατὰ τῆς ἰδέας ὁ ἄνθρωπος, ἔσται τρίτος τις ἄνθρωπος παρά τε τοὺς καθ' ἕκαστα καὶ τὴν ἰδέαν. οὕτως δὲ καὶ τέταρτος ὁ κατά τε τούτου καὶ τῆς ἰδέας καὶ τῶν καθ' ἕκαστα κατηγορούμενος, ὁμοίως δὲ καὶ πέμπτος καὶ τοῦτο ἐπ' ἄπειρον. ἔστι δὲ ὁ λόγος οὗτος τῷ πρώτῳ ὁ αὐτός, ἐπεὶ ἔθεντο τὰ ὅμοια τοῦ αὐτοῦ τινὸς μετουσίᾳ ὅμοια εἶναι· ὅμοιοι γὰρ οἵ τε ἄνθρωποι καὶ αἱ ἰδέαι . . . τῇ μὲν οὖν πρώτῃ* (p. 62, 12—20) *τοῦ τρίτου ἀνθρώπου ἐξηγήσει ἄλλοι τε κέχρηνται καὶ Εὔδημος σαφῶς ἐν τοῖς περὶ λέξεως, τῇ δὲ τελευταίᾳ* (p. 62, 33—63, 9) *αὐτὸς ἔν τε τῷ τετάρτῳ* (corr. *πρώτῳ*) *περὶ ἰδεῶν καὶ ἐν τούτῳ μετ' ὀλίγον* (scil. p. 991, 2: *καὶ εἰ μὲν ταὐτὸ εἶδος τῶν ἰδεῶν καὶ τῶν μετεχόντων, ἔσται τι κοινόν* etc. ad quem locum Alex. p. 68, 25: *ἔστι δὲ τὸ νῦν λεγόμενον ὑπ' αὐτοῦ, ὃ ἐξηγούμενοι τὸν τρίτον ἄνθρωπον δεύτερον ἐθήκαμεν).*

4 a.

Ex reliqua Alexandri disputatione si quae ad Pseudaristotelem pertinere tenueris (cf. praef.), cogitandum praecipue videtur de eis quae habet p. 64, 15—65, 1 et p. 65, 14—24 et p. 82, 11—20 ad Ar. p. 990ᵇ21. 27. 991ᵇ24.

5. (175)

Alexander ad Ar. metaph. p. 72, 13: *ὅτι δὲ μὴ ὡς Εὔδοξος ἡγεῖτο καὶ ἄλλοι τινὲς μίξει τῶν ἰδεῶν τὰ ἄλλα, ῥᾴδιόν φησιν* (I, 9. 991, 18) *εἶναι συναγαγεῖν πολλὰ καὶ ἀδύνατα ἑπόμενα τῇ δόξῃ τῇδε. εἴη δ' ἂν τοιαῦτα. εἰ μίγνυνται αἱ ἰδέαι τοῖς ἄλλοις, πρῶτον μὲν σώματα ἂν εἶεν· σωμάτων γὰρ ἡ μῖξις. ἔτι ἕξουσιν ἐναντίωσιν πρὸς ἀλλήλας· ἡ γὰρ μῖξις κατ' ἐναντίωσίν ἐστιν. ἔτι οὕτως μιχθήσεται ὡς ἢ ὅλην ἐν ἑκάστῳ τῶν οἷς μίγνυται* (-*νυνται* codd., corr. Bonitz) *εἶναι ἢ μέρος. ἀλλ' εἰ μὲν ὅλη, ἔσται ἐν πλείοσι τὸ ἓν κατὰ τὸν ἀριθμόν· ἓν γὰρ κατὰ τὸν ἀριθμὸν ἡ ἰδέα. εἰ δὲ πρὸς μέρος, τὸ μέρους τοῦ αὐτοανθρώπου μετέχον, οὐ τὸ αὐτοανθρώπου ἔσται ἄνθρωπος* (cf. Alex. p. 72, 18: *ἢ λέγοι ἄν, ὥς τινες ἤκουσαν* — Aspasius, ut credo — *τὸ «κατ' οὐδένα τρόπον τῶν εἰωθότων λέγεσθαι» ὑπὸ τῶν τὰς ἰδέας τιθεμένων. ζητοῦντες γὰρ τίνα τρόπον ἡ μετοχὴ ἡ τῶν εἰδῶν, ἢ οὕτως φασὶν ὡς ἐν ἑκάστῳ τῶν κατὰ μέρος ἐνυπάρχειν τὴν ἰδέαν, οἷον ἐν ἑκάστῳ τῶν τινῶν ἀνθρώπων τὸν αὐτοάνθρωπον, ἢ ἐν ἑκάστῳ μέρος τῆς ἰδέας, ἢ παράδειγμα τὸ εἶδός ἐστι τοῖς μετέχουσιν. ὧν οἱ μὲν πρῶτοι δύο τρόποι τῆς μετοχῆς ἀδύνατοι, ὡς ἡμεῖς τε ἐδείξαμεν πρὸ ὀλίγου καὶ αὐτὸς εἶπεν Εὐδόξου μνημονεύσας* . . . cf. eadem prorsus in eadem re scepticorum ratiocinatio contra Pythagoricos i. e. Platonicos apud Sextum adv. dogm. IV p. 535, 4—16 Bk.). *ἔτι διαιρεταὶ ἂν εἶεν αἱ ἰδέαι καὶ μερισταί, οὖσαι ἀπαθεῖς. ἔπειτα ἔσται μὲν ὁμοιομερῆ, εἴγε πάντα τὰ ἔχοντά τι μέρος ἐξ αὐτοῦ ὅμοιά ἐστιν ἀλλήλοις· πῶς δὲ οἷόν τε τὰ εἴδη ὁμοιομερῆ εἶναι; οὐ γὰρ οἷόν τε τὸ μέρος τοῦ ἀνθρώπου ἄνθρωπον εἶναι, ὡς τὸ τοῦ χρυσοῦ μέρος χρυσόν. ἔτι, ὡς καὶ αὐτὸς ὀλίγον προελθὼν λέγει* (p. 990, 27. Alex. p. 77, 29. cf. Alex. p. 67, 23—68, 9), *ἐν ἑκάστῳ οὐ μία ἔσται ἰδέα μεμιγμένη ἀλλὰ πολλαί· εἰ γὰρ ἄλλη μὲν ζῴου ἰδέα ἄλλη δὲ ἀνθρώπου, ὁ δὲ ἄνθρωπος καὶ ζῷόν ἐστι καὶ ἄνθρωπος, ἀμφοτέρων ἂν μετέχοι τῶν ἰδεῶν· καὶ ὁ αὐτοάνθρωπος δὲ ἰδέα, ᾗ μὲν καὶ ζῷόν ἐστι, μετέχοι ἂν καὶ αὐτοῦ τοῦ ζῴου· οὕτως δὲ οὐκέτι ἂν ἁπλαῖ αἱ ἰδέαι εἶεν, ἀλλ' ἐκ πολλῶν συγκείμεναι, καὶ αἱ μὲν αὐτῶν πρῶται αἱ δὲ δεύτεραι. εἰ δὲ μή εἰσι ζῷον, πῶς οὐκ ἄτοπον ἄνθρωπον λέγειν μὴ εἶναι ζῷον; ἔτι δέ, εἰ μίγνυνται τοῖς πρὸς αὐτὰ οὖσι, πῶς ἂν ἔτι εἶεν παραδείγματα, ὡς λέγουσιν; οὐδὲ γὰρ οὕτως τὰ παραδείγματα ταῖς εἰκόσι τῆς ὁμοιότητος τῆς πρὸς αὐτὰ αἴτια τῷ μεμῖχθαι. ἔτι τε καὶ συμφθείροιντο ἂν τοῖς ἐν οἷς εἰσὶ φθειρομένοις. ἀλλ' οὐδὲ χωρισταὶ ἂν εἶεν αὐταὶ καθ' αὑτάς, ἀλλ' ἐν τοῖς μετέχουσιν αὐτῶν. πρὸς δὲ τούτοις οὐδὲ ἀκίνητοι ἔτι ἔσονται, καὶ ὅσα ἄλλα ἐν τῷ δευτέρῳ περὶ ἰδεῶν τὴν δόξαν*

ταύτην ἐξετάζων ἔδειξεν ἄτοπα ἔχουσαν. διὰ τοῦτο γὰρ εἶπε τὸ «ῥᾴδιον γὰρ συναγαγεῖν πολλὰ καὶ ἀδύνατα πρὸς τὴν δόξαν ταύτην»· ἐκεῖ γὰρ συνῆκται.

XXXVI.

Περὶ τῶν Πυθαγορείων.

Libri Aristoteli adscripti de Pythagoreis (de quo v. Rose de Ar. l. p. 79—83), qui minime inutilis rarusque fuit posterioribus (usque ad Augusteam certe aetatem, de ceteris enim non liquet. etenim si ipse eum, quod facile credas, Alexander Polyhistor adhibuit, nullus tamen eorum novit qui fragmenta tulerunt infra collecta, excepto fortasse Apollonio), eius igitur reliquiae quae satis multae extant, clarissime illud comprobant, quod qui et Aristotelis antiquorum iudicem agentis rationem cognoverunt et litterarum Graecarum historiam perspexerunt, in qua ab Aristotele et Theophrasto novus plane rerum ordo incipit, sciunt omnes (Roethios excipio et Gerlachios et Gladischios eorumque similes) Pythagoricam non philosophiam extitisse sed *βίον Πυθαγορικόν*, non tam philosophos fuisse Pythagoreos quam sapientes, nullatenus autem neque scriptores neque dialecticos. comprobant igitur ea quae discimus ex Aristotele, si quidem recte discimus itaque ut quae de Pythagoreorum dictis placitisque narret, terminis exuamus philosophicis quos a Platonis schola accepit et a philosophici sermonis consuetudine. etenim haec duo potissimum sunt in quibus illustrandis auctor versatus esse reperitur, symbolica atque religiosa dicendi docendique ratio qua vitam adornaverant atque studia mathematica ad rerum naturam et ipsa symbolice applicata. mathematica enim scientia pro philosophia erat Pythagoreis, mathematicam autem philosophiam sive potius dialecticam mathematicam non Pythagoras invenit neque Pythagorei, immo Plato et Platonici et qui ex eadem sententia iudicans numerique urgens usum dialecticum, de quo non cogitaverant Pythagorei symbolis contenti, historiam philosophiae primus inchoavit Aristoteles. de quo omni argumento (cf. Rose de Ar. l. p. 2 sq. 10 sqq. 35. 79 sqq. 91 sqq. etc.) quod iam olim consilium professus sum peculiari libro uberius exponendi (p. 79), id sicubi Aristotelico negotio defunctus ero studiisque in commentatores Graecos Aristotelis librorumque eius versiones Latinas et medii aevi litteras collatis, etiamnunc me executurum esse spero. nunc autem satis habeo monuisse primum in eadem de Pythagoreis sententia cum Aristotele Eu-

demo Theophrasto convenire libri de Pythagoreis auctorem anonymum (Rose p. 80), deinde autem ipsum consilium quo placita narrare Pythagorica suscepit, ad Peripateticorum studia discipulorumque Aristotelis aetatem pertinere priorum sive physicorum (ut omnium celeberrimo exemplo Theophrastus) sive mathematicorum sive theologorum (sicut Eudemus, cf. Rose p. 70 sq.) sive rhetorum placita aut ordine composita in unum colligentium aut singularibus libris accuratiora etiam historiae studia parantium. quorum hos quidem qui magis etiam singula perscrutarentur recentiores fuisse verisimile est (certe post Xenocratis — i. e. post ol. 116, 3 — mortem libros edidit qui de philosophia eius tractavit). restant etiam nunc horum studiorum testes libri qui et ipsi Aristotelis ferebantur singulares de Xenophane, de Melisso, item de Gorgia. perditorum autem tituli in indicibus operum et Aristotelis et Theophrasti Laertianis quam plurimi, quorum recensum subiicio: περὶ τῶν Ἀναξιμένους α̅ (Th. 5, 42), περὶ τῶν Ἀναξαγόρου α̅ (Th. 5, 42), πρὸς Ἀναξαγόραν α̅ (Th. 5, 42. Simpl. in phys. f. 35^{b} Θεόφραστος ἐν τῷ περὶ Ἀναξαγόρου δευτέρῳ), τῶν Διογένους συναγωγή α̅ (Th. 5, 43), περὶ τῶν Ἀρχελάου α̅ (Th. 5, 42), περὶ Δημοκρίτου (libri sex diversis titulis Th. 5, 43. cf. Rose p. 7), περὶ Δημοκρίτου α̅ (Th. 5, 49. cf. Ar. fr. ap. Simpl.), προβλήματα ἐκ τῶν Δημοκρίτου ζ̅ (Ar. 5, 26), τῶν Μητροδώρου (Chii. D. L. 9, 58) συναγωγή α̅ (Th. 5, 44), πρὸς τὰ Ξενοφάνους α̅ (Ar. 5, 25. vulgo Ξενοκράτους sicut etiam Burlaeus), πρὸς τὰ Παρμενίδου (Ar. Philop. in phys. fol. 6, 5 a extr. Ven. 1535 = p. $331^{b}1$ Br. φασὶ δὲ καὶ γεγράφθαι αὐτῷ ἰδίᾳ βιβλίον πρὸς τὴν Παρμενίδου δόξαν, ὃ νῦν αἰνίττεται Ar. scil. in phys. 1, 3. 186, 23, cf. Rose p. 72), πρὸς τὰ Μελίσσου α̅ (Ar. 5, 25), πρὸς τὰ Ζήνωνος α̅ (Ar. 5, 25), περὶ Ἐμπεδοκλέους α̅ (Th. 5, 43), πρὸς τὰ Γοργίου (Ar. 5, 25), πρὸς τὰ Ἀλκμαίωνος α̅ (Ar. 5, 25), περὶ τῶν Πυθαγορείων α̅ (Ar. 5, 25. primus et secundus liber citatur in fr. 11. 12. 16 ex Stobaeo, Alexandro, Simplicio. cf. Ptolem. Wenr. p. 145 ubi duas diversorum librorum inscriptiones confudisse videtur interpres Arabicus *de arte poetica* et *de Pythagorae eiusque sectatorum placitis l. II.* cf. Hadschi Kh. V, 104: *idem libros duos de arte poetica secundum disciplinam Pythagorae scripsit.* titulus variis modis enuntiatur: Πυθαγορικός a Theone fr. 9, Πυθαγορικά Simpl. fr. 14, συναγωγὴ τῶν Πυθαγορικῶν Simpl. fr. 16, τῶν Πυθαγορείοις ἀρεσκόντων συναγωγή Simpl. fr. 10, Πυθαγορικῶν δόξαι Alex. fr. 13, περὶ τῆς Πυθαγορικῶν δόξης Alex. fr. 12, περὶ τῆς Πυθαγόρου vel π. τ. Πυθαγορικῆς φιλοσοφίας Stob. fr. 11 et Iambl. fr. 3), πρὸς τοὺς Πυθαγορείους (Ar. 5, 25), περὶ τῆς Ἀρχυτείου φιλοσοφίας α̅ β̅ γ̅ (Ar.

5, 25 vel *Ἀρχύτεια* fr. 1 Damasc.), *τὰ ἐκ τῆς πολιτείας Πλάτωνος* (Ar. 5, 22), *ἐπιτομὴ τῆς Πλάτωνος πολιτείας α̅ β̅* (Th. 5, 43. eadem quae et Aristotelis? cf. Procl. in fr. 1), *τὰ ἐκ τῶν νόμων Πλάτωνος* (Ar. 5, 22), *τὰ ἐκ τοῦ Τιμαίου* (*Πλάτωνος*) *καὶ τῶν Ἀρχυτείων* (Ar. 5, 25), *διαιρέσεις Πλάτωνος* (Ar. D. L. 3, 80. Rose p. 65), *περὶ τῆς Σπευσίππου καὶ Ξενοκράτους φιλοσοφίας α̅* (Ar. 5, 25), *τῶν Ξενοκράτους συναγωγὴ α̅* (Th. 5, 47), *τέχνης τῆς Θεοδέκτου συναγωγὴ α̅* (Ar. 5, 24). cf. etiam Aristoxeni libros de Pythagora et Pythagoreis et q. inscr. *Πυθαγορικαὶ ἀποφάσεις*, Clearchi de mathematicis in Platonis republica (et in Timaeo, cf. Plut. Tim. 20), Heraclidis l. de Pythagoreis, de Zenone, Democrito, Heraclito, (D. L. 5, 86. 87) et ex Platonicis aequalibus Xenocratis de Parmenide et Pythagoreis (D. L. 4, 13) etc.

1. (176)

Clem. Alex. strom. I, 14, 62 p. 129 Sylb. (ex quo eadem Theodoret. therap. I p. 19 Gaisf.): *Πυθαγόρας μὲν οὖν Μνησάρχου Σάμιος, ὥς φησιν Ἱππόβοτος* (cum plurimis sec. Porph. 1. cf. D. L. 8, 1), *ὡς δὲ Ἀριστόξενος* (fr. 1 Müll.) *ἐν τῷ Πυθαγόρου βίῳ καὶ Ἀρίσταρχος* (*Ἀριστοτέλης* corr. Preller Polem. fr. p. 59) *καὶ Θεόπομπος* (*Θεόφραστος* Prell.) *Τυρρηνὸς ἦν* (*πατρόθεν* scil. cf. Aristox. ap. D. L. 8, 1. Porph. 2 et Plut. qu. conv. 8, 10, 1. *τῶν τὴν Λῆμνον ἀποικησάντων* Mnesarchum fuisse volunt eumque postea *εἰς Σάμον ἐλθόντα καταμεῖναι*, ut habet Porph. cf. Anton. Diog. apud Porph. 10 et Phot. bibl. p. 109ᵇ14), *ὡς δὲ Νεάνθης* (cf. Porph. 1) *Σύριος ἢ Τύριος*.

2. (177)

Apollonius mirab. 6 (ed. Westermann): *τούτοις δὲ ἐπιγενόμενο Πυθαγόρας Μνησάρχου υἱὸς τὸ μὲν πρῶτον διεπονεῖτο περὶ τὰ μαθήματα καὶ τοὺς ἀριθμούς, ὕστερον δέ ποτε καὶ τῆς Φερεκύδου τερατοποιίας οὐκ ἀπέστη. καὶ γὰρ ἐν Μεταποντίῳ* (ed. pr. *κ. γ. τῷ Ποντίου*, *Μεταποντίου* Meurs.) *πλοίου εἰσερχομένου φορτίον ἔχοντος* (*πλοίῳ* - *ἔχοντι* vulgo) *καὶ τῶν παρατυχόντων εὐχομένων σωστὸν* (*εἶναι* add. ed. pr., *ἐκεῖνο* corr. M.) *κατελθεῖν διὰ τὸν φόρτον, ἐφεστῶτα* (vulgo *ἑστῶτα*. cf. Iambl. 36) *τοῦτον εἰπεῖν «νεκρὸν* (*μικρὸν* ed. pr.) *τοίνυν φανήσεται ὑμῖν σῶμα ἄγον τὸ πλοῖον τοῦτο»* (cf. Iambl. v. P. 142. Porph. 28). *πάλιν δὲ ἐν Καυλωνίᾳ, ὥς φησιν Ἀριστοτέλης** (lacunam ex homoioteleuto, ut puto, ortam, explet Iambl. 142. *ὥς φησιν Ἀριστοτέλης . . . ὁ αὐτὸς Ἀριστοτέλης γράφων* etc.) *γράφων περὶ αὐτοῦ πολλὰ μὲν καὶ ἄλλα λέγει καὶ τὸν ἐν Τυρρηνίᾳ, φησί, δάκνοντα*

θανάσιμον ὄφιν αὐτὸς δάκνων ἀπέκτεινεν (cf. Iambl. 142). *καὶ τὴν γενομένην δὲ στάσιν τοῖς Πυθαγορείοις προειπεῖν* (cf. I. 142)· *διὸ καὶ εἰς Μεταπόντιον ἀπῆρεν ὑπὸ μηδενὸς θεωρηθείς* (cf. I. 248. D. L. 8, 40). *καὶ ὑπὸ τοῦ Κόσα τοῦ* (vulgo *ὑπὸ τοῦ κατὰ Σάμον*. cf. idem nomen varie corruptum in *Νέσσον* apud Iambl. Laert. et *Καύκασον* apud Porph. Cyrill. est autem *Κόσας* Latii apud Strabonem V p. 237) *ποταμοῦ διαβαίνων σὺν ἄλλοις ἤκουσε φωνὴν μεγάλην* (add. *καὶ*) *ὑπὲρ ἄνθρωπον* (ita cod. sec. Bastium, male v. *ἀνθρώπων*) «*Πυθαγόρα, χαῖρε*»· *τοὺς δὲ παρόντας περιδεεῖς γενέσθαι* (cf. Ar. apud Ael. 2, 26. 4, 17. D. L. 8, 11. Porph. 27. Iambl. 134). *ἐφάνη δέ ποτε καὶ ἐν Κρότωνι καὶ ἐν Μεταποντίῳ τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ* (cf. Arist. apud Ael. ll. cc. *ἔν τε Μ. καὶ ἐν Ταυρομενίῳ* Porph. 27. 29. Iambl. 136). *ἐν θεάτρῳ δὲ* (i. e. *ἐν Ὀλυμπίᾳ* Ael., cf. Plut. Numa 8) *καθήμενός ποτε ἐξανίσταται, ὥς φησιν Ἀριστοτέλης, καὶ τὸν ἴδιον μηρὸν παρέφηνε* (*-φαινε* vulgo) *τοῖς καθημένοις* (corr. *παρακαθημένοις*. deinde ed. add. *εἰς*) *χρυσοῦν* (cf. Arist. apud Ael. l. c. Porph. 28. Iambl. 140. 135. 92). *λέγεται δὲ περὶ αὐτοῦ καὶ ἄλλα τινὰ παράδοξα, ἡμεῖς δὲ μὴ βουλόμενοι μεταγραφέων ἔργον ποιεῖν αὐτοῦ τὸν λόγον καταπαύσομεν.*

Haec omnia *μετέγραψεν* Apollonius ex uno Aristotele, ex quo partim eadem partim alia Aelianus, Laertius, Porphyrius, Iamblichus nimis quidem contracta referunt.

Aelian. var. hist. 2, 26: *Ἀριστοτέλης λέγει ὑπὸ τῶν Κροτωνιατῶν τὸν Πυθαγόραν Ἀπόλλωνα Ὑπερβόρειον προσαγορεύεσθαι* (P. 28. I. 140. 135. 91). *κἀκεῖνα δὲ προσεπιλέγει ὁ τοῦ Νικομάχου ὅτι τῆς αὐτῆς ἡμέρας ποτὲ καὶ κατὰ τὴν αὐτὴν ὥραν καὶ ἐν Μεταποντίῳ ὤφθη ὑπὸ πολλῶν καὶ ἐν Κρότωνι.** (*ἐν*) *τῷ ἀγῶνι ἐξανιστάμενος* (= I. 140), *ἔνθα καὶ τῶν μηρῶν ὁ Πυθαγόρας παρέφηνε τὸν ἕτερον χρυσοῦν. λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι ὑπὸ τοῦ Κόσα* (al. *Κώσα*) *ποταμοῦ* (*τὸν ποταμόν* codd.) *διαβαίνων προσερρήθη· καὶ πολλούς φησιν ἀκηκοέναι τὴν πρόσρησιν ταύτην.* quibus addendum est alterum Aeliani excerptum var. hist. 4, 17: *Ἐδίδασκε Πυθαγόρας τοὺς ἀνθρώπους ὅτι κρειττόνων γεγένηται σπερμάτων ἢ κατὰ τὴν φύσιν τὴν θνητήν· τῆς γὰρ αὐτῆς ἡμέρας ὤφθη καὶ κατὰ τὴν αὐτὴν ὥραν ἐν Μεταποντίῳ, φησί* (aut scrib. *φασί* aut intell. *Ἀριστοτέλης*), *καὶ ἐν Κρότωνι. καὶ ἐν Ὀλυμπίᾳ δὲ παρέφηνε χρυσοῦν τὸν ἕτερον τῶν μηρῶν. καὶ Μυλλίαν δὲ τὸν Κροτωνιάτην ὑπέμνησεν ὅτι Μίδας ὁ Γορδίου ἐστὶν ὁ Φρύξ* (cf. I. 143). *καὶ τὸν ἀετὸν δὲ τὸν λευκὸν κατέψησεν ὑπομείναντα αὐτόν* (cf. I. 142. Plut. Num. 8). *ἀλλὰ καὶ ὑπο τοῦ Κόσα τοῦ ποταμοῦ διαβαίνων προσερρήθη, τοῦ ποταμοῦ εἰπόντος αὐτῷ «χαῖρε, Πυθα-*

γόρα». cf. Diog. Laertius 8, 11: καὶ γὰρ καὶ σεμνοπρεπέστατος λέγεται γενέσθαι καὶ οἱ μαθηταὶ δόξαν εἶχον περὶ αὐτοῦ ὡς εἴη Ἀπόλλων ἐξ Ὑπερβορέων ἀφιγμένος. λόγος δέ ποτ' αὐτοῦ παραγυμνωθέντος τὸν μηρὸν ὀφθῆναι χρυσοῦν· καὶ ὅτι Νέσσος (scr. *Κόσας*) *ὁ ποταμὸς διαβαίνοντα αὐτὸν προσαγορεύσαι πολὺς ἦν ὁ φάσκων.*

Iambl. de vita Pythag. c. 28 s. 140—143 (ed. Kiessling Lips. 1815 p. 294): *τὴν δὲ πίστιν τῶν παρ' αὐτοῖς ὑπολήψεων ἡγοῦνται εἶναι ταύτην, ὅτι ἦν ὁ πρῶτος εἰπὼν αὐτός* (qui sc. *αὐτὸς ἔφα*), *οὐχ ὁ τυχὼν ἀλλὰ θεός* (vulgo *π. εἰπὼν αὐτὸ οὐχ ὁ τ. ἀλλ' ὁ θεός*). *καὶ ἓν τοῦτο τῶν ἀκουσμάτων* (cf. Iambl. 82) *ἐστί, τίς ὁ Πυθαγόρας; φασὶ γὰρ εἶναι Ἀπόλλω Ὑπερβόρεον. τούτου δὲ τεκμήρια* (cf. Laert. l. c.) *ἔχεσθαι ὅτι ἐν τῷ ἀγῶνι ἐξανιστάμενος τὸν μηρὸν παρέφηνε χρυσοῦν, καὶ ὅτι Ἄβαριν τὸν Ὑπερβόρεον εἱστία καὶ τὸν οἰστὸν αὐτοῦ ἀφείλετο ᾧ ἐκυβερνᾶτο* (cf. I. 91 sq. P. 29 = I. 136). *λέγεται δὲ ὁ Ἄβαρις ἐλθεῖν ἐξ Ὑπερβορέων ἀγείρων χρυσὸν εἰς τὸν νεὼν* (cf. I. 91) *καὶ προλέγων λοιμόν. κατέλυε δὲ ἐν τοῖς ἱεροῖς καὶ οὔτε πίνων οὔτε ἐσθίων ὤφθη ποτὲ οὐθέν. λέγεται δὲ καὶ ἐν Λακεδαιμονίοις θῦσαι τὰ κωλυτήρια καὶ διὰ τοῦτο οὐδένα πώποτε ὕστερον ἐν Λακεδαίμονι λοιμὸν γενέσθαι* (cf. I. 92). *τοῦτον οὖν τὸν Ἄβαριν, παρελόμενος ὃν εἶχε χρυσοῦν οἰστόν, οὗ ἄνευ οὐχ οἷός τ' ἦν τὰς ὁδοὺς ἐξευρίσκειν, ὁμολογοῦντα ἐποίησε. καὶ ἐν Μεταποντίῳ εὐξαμένων τινῶν γενέσθαι αὐτοῖς τὰ ἐν τῷ προσπλέοντι πλοίῳ «νεκρὸς τοίνυν ἂν ὑμῖν»* (*ἡμῖν* vulgo) *ἔφη· καὶ ἐφάνη νεκρὸν ἄγον τὸ πλοῖον. καὶ ἐν Συβάρει τὸν ὄφιν τὸν ἀποκτείνοντα* (*-ναντα* v.) *τὸν δασὺν ἔλαβε καὶ ἀπεπέμψατο. ὁμοίως δὲ καὶ τὸν ἐν Τυρρηνίᾳ τὸν μικρὸν ὄφιν ὃς* (corr. *αὐτὸς*) *ἀπέκτεινε δάκνων. ἐν Κρότωνι δὲ τὸν ἀετὸν τὸν λευκὸν κατέψησεν ὑπομείναντα, ὥς φασι* (cf. P. 25 = I. 62. Plut. l. c.). *βουλομένου δέ τινος ἀκούειν οὐκ ἔφη πω λέξειν πρὶν ἢ σημεῖόν τι φανῇ· καὶ μετὰ ταῦτα ἐγένετο ἐν Καυλωνίᾳ ἡ λευκὴ ἄρκτος* (cf. P. 23 = I. 60). *καὶ πρὸς τὸν μέλλοντα ἐξαγγέλλειν αὐτοῦ τὸν* (*τούτου* add. v.) *θάνατον προεῖπεν αὐτός* (cf. Apoll. supra). *καὶ Μυλλίαν τὸν Κροτωνιάτην ἀπέμνησεν ὅτι ἦν Μίδας ὁ Γορδίου· καὶ ᾤχετο ὁ Μυλλίας εἰς τὴν ἤπειρον ποιήσων ὅσα ἐπὶ τῷ τάφῳ ἐκέλευσε. λέγεται δὲ καὶ ὅτι τὴν οἰκίαν αὐτοῦ ὁ πριάμενος καὶ ἀνορύξας ἃ μὲν εἶδεν οὐδενὶ ἐτόλμησεν εἰπεῖν, ἀντὶ δὲ τῆς ἁμαρτίας* (cf. D. L. 8, 15) *ταύτης ἐν Κρότωνι ἱεροσυλῶν ἐλήφθη καὶ ἀπέθανε· τὸ γὰρ γένειον ἀποπεσὸν τοῦ ἀγάλματος τὸ χρυσοῦν ἐφωράθη λαβών. ταῦτά τε οὖν λέγουσι πρὸς πίστιν καὶ ἄλλα τοιαῦτα.*

3. (178)

Iamblichus de vita Pythagorica s. 31: *ἱστορεῖ δὲ καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ τῆς Πυθαγορικῆς φιλοσοφίας διαίρεσίν τινα τοιάνδε ὑπὸ τῶν ἀνδρῶν ἐν τοῖς πάνυ ἀπορρήτοις διαφυλάττεσθαι· τοῦ λογικοῦ ζώου τὸ μέν ἐστι θεός, τὸ δ' ἄνθρωπος, τὸ δὲ οἷον Πυθαγόρας.*

Idem Iambl. 144 (ubi post ea quae supra adscripsi in fr. 1, ita pergit): *ὡς δὲ τούτων ὁμολογουμένων καὶ ἀδυνάτου ὄντος περὶ ἄνθρωπον ἕνα ταῦτα συμβῆναι, ἤδη οἴονται σαφὲς εἶναι ὅτι ὡς παρὰ* (male corrigunt *περὶ κρ.* et postea *περὶ ἐκείνου.* cf. initium totius argumentationis s. 140) *κρείττονος ἀποδέχεσθαι χρὴ τὰ παρ' ἐκείνου λεχθέντα καὶ οὐχὶ ἀνθρώπου. ἀλλὰ καὶ τὸ ἀπορούμενον ταὐτὰ σημαίνειν· ἔστι γὰρ παρ' αὐτοῖς λεγόμενον ὅτι «ἄνθρωπος δίπος* (*δίπουν, δίπους* codd.) *ἐστὶ καὶ ὄρνις καὶ τρίτον ἄλλο». τὸ γὰρ τρίτον Πυθαγόρας ἐστί.*

Cf. Aelianus (cuius excerptum ex Aristotelicis totum fluxisse videtur) v. h. 4, 17: *οὐχ οἷόν τε δὲ ἦν διαπορῆσαι ὑπέρ τινος αὐτῷ ἢ τοῖς λεχθεῖσί τι προσεπερωτῆσαι, ἀλλ' ὡς χρησμῷ θείῳ οὕτως οἱ τότε προσεῖχον τοῖς λεγομένοις ὑπ' αὐτοῦ. ἐπιστρεφομένου δὲ τὰς πόλεις αὐτοῦ, διέρρει λόγος ὅτι Πυθαγόρας ἀφίκετο οὐ διδάξων ἀλλ' ἰατρεύσων.*

3a. (178a)

Apuleius de deo Socr. 20 (sec. codicem quem nuper, Sept. 1862, inspexi Harleianum 3969 membr. sec. 14 fol. 96ᵃ: *credo vestrum plerosque hoc quod* (*modo* vel *commodo* add. al. codd.) *dixi cunctantius credere et impendio mirari formam daemonis Socrati visam* (al. *visitatam*). *at hoc seculo* (*scl'o* cod. Harl.) *oppido mirari solitos Pythagoricos, si quis se negaret unquam vidisse daemonem, satis ut reor idoneus auctor* (*auctor* om. Harl.) *est Aristoteles. quod si cuivis potest evenire facultas contemplandi divinam* (*dignam* Harl.) *effigiem, cur non apprime potuerit Socrati obtingere* etc.

In hoc loco pro verbis quae corrupta videntur *at hoc* (scil. Socratis?) *seculo . . . Pythagoricos* male in aliis legebatur ita *secundum* (*scdm*, *scdo*) *Pythagoricos.* cf. var. lect. apud Hildebr. p. 158, ubi sic: *etenim secundum Pythagoricos mirari solitos oppido* etc.

4. (179)

Gellius IV, 11: *Plutarchus quoque, homo in disciplinis gravi auctoritate, in primo librorum quos de Homero composuit Aristotelem*

philosophum scripsit eadem ipsa de Pythagoricis scripsisse, quod non abstinuerunt edendis animalibus nisi pauca carne quadam. verba ipsa Plutarchi, quoniam res inopinata est, subscripsi: Ἀριστοτέλης δὲ μήτρας καὶ καρδίας καὶ ἀκαλήφης καὶ τοιούτων ἄλλων ἀπέχεσθαί φησι τοὺς Πυθαγορικούς, χρῆσθαι δὲ τοῖς ἄλλοις. ἀκαλήφη autem est animal marinum quod urtica appellatur. sed et piscibus nonnullis abstinere Pythagoricos Plutarchus in symposiacis dicit (qu. conv. 8, 8, 1: *μάλιστα τῶν ἰχθύων ἀπείχοντο· καὶ γὰρ ἱστορεῖται τοῦτο περὶ τῶν παλαιῶν Πυθαγορικῶν.* cf. Athen. VII p. 308[c]). cf. Porph. v. P. 45 (ex Arist.): *ἀπέχεσθαι δὲ καὶ ἄλλων παρῄνει, οἷον μήτρας τε καὶ τριγλίδος καὶ ἀκαλήφης, σχεδὸν δὲ καὶ τῶν ἄλλων θαλασσίων* (cf. I. 98) *ξυμπάντων.*

Diog. Laert. 8, 19: *παντὸς δὲ μᾶλλον ἀπηγόρευε μήτ' ἐρυθῖνον ἐσθίειν μήτε μελάνουρον· καρδίας τ' ἀπέχεσθαι καὶ κυάμων· Ἀριστοτέλης δέ φησι καὶ μήτρας καὶ τρίγλης ἐνίοτε* (cf. fr. 5 init. et Iambl. 109).

5. (180)

Diog. Laert. 8, 33—35: *τιμὰς θεοῖς δεῖν νομίζειν καὶ ἥρωσι μὴ τὰς ἴσας, ἀλλὰ θεοῖς ἀεὶ μετ' εὐφημίας λευχειμονοῦντας* (cf. 8, 19) *καὶ ἁγνεύοντας* (cf. Diod. 10, 21 Bekk.). *ἥρωσι δ' ἀπὸ μέσου ἡμέρας. τὴν δ' ἁγνείαν εἶναι διὰ καθαρμῶν καὶ λουτρῶν καὶ περιρραντηρίων καὶ διὰ τοῦ καθαρεύειν ἀπό τε κήδους καὶ λεχοῦς καὶ μιάσματος παντὸς καὶ ἀπέχεσθαι βρωτῶν θνησειδίων τε κρεῶν καὶ τριγλῶν καὶ μελανούρων* [cf. fr. 4 et Ael. 4, 17 extr. *προσέταττε δὲ ὁ αὐτὸς Πυθαγόρας καρδίας ἀπέχεσθαι καὶ ἀλεκτρυόνος λευκοῦ καὶ τῶν θνησειδίων παντὸς μᾶλλον καὶ μὴ χρῆσθαι βαλανείῳ, μηδὲ βαδίζειν τὰς λεωφόρους· ἄδηλον γὰρ εἰ καθαρεύουσι κατ'* (v. *καὶ*) *αὐτὰ ἐκεῖνα.* cf. Iambl. 83] *καὶ ᾠῶν* (Plut. qu. conv. 2, 3, 1. cf. Gell. l. c.) *καὶ τῶν ᾠοτόκων ζώων καὶ κυάμων καὶ τῶν ἄλλων ὧν παρακελεύονται καὶ οἱ τὰς τελετὰς ἐν τοῖς ἱεροῖς ἐπιτελοῦντες. φησὶ δ' Ἀριστοτέλης περὶ τῶν κυάμων* (ita recte Cobet ex cod. Laur., quem et ipse inspexi. codd. rec. et edd. inepte *ἐν τῷ περὶ τῶν κυάμων*) *παραγγέλλειν αὐτὸν ἀπέχεσθαι τῶν κυάμων ἤτοι ὅτι αἰδοίοις εἰσὶν ὅμοιοι ἢ ὅτι Ἅιδου πύλαις· ἀγόνατον γὰρ μόνον· ἢ ὅτι φθείρει ἢ ὅτι τῇ τοῦ ὅλου φύσει ὅμοιος ἢ ὅτι ὀλιγαρχικόν· κληροῦνται* (cf. Plut. de lib. educ. 17) *γοῦν αὐτοῖς* (easdem partim causas affert Lucian. vit. auct. 6. quocum cf. Porph. 44 et Pseudorig. philos. p. 8 Mill. ceterum de fabis cf. sententiam controversam Aristoxeni ex l. de Pythag. f. 7 Müll. item eiusdem de carnis esu ib. contra autem Theophr. ap. Porph. de abst. p. 153. cf. p. 168. Eudox. Porph.

v. P. 7). *τὰ δὲ πεσόντ' ἀπὸ τραπέζης μὴ ἀναιρεῖσθαι, ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν ἢ ὅτι ἐπὶ τελευτῇ τινός· καὶ Ἀριστοφάνης … ἀλεκτρυόνος μὴ ἅπτεσθαι λευκοῦ* (cf. Ael. l. c. Iambl. 84), *ὅτι ἱερὸς τοῦ Μηνὸς καὶ ἱκέτης· τὸ δ' ἦν τῶν ἀγαθῶν· τῷ τε Μηνὶ ἱερός· σημαίνει γὰρ τὰς ὥρας* (cf. ad h. l. not. ed. Hübner.). *τῶν ἰχθύων μὴ ἅπτεσθαι ὅσοι ἱεροί· μὴ γὰρ δεῖν τὰ αὐτὰ τετάχθαι θεοῖς καὶ ἀνθρώποις, ὥσπερ οὐδ' ἐλευθέροις καὶ δούλοις. καὶ τὸ μὲν λευκὸν τῆς τἀγαθοῦ φύσεως, τὸ δὲ μέλαν τοῦ κακοῦ. ἄρτον μὴ καταγνύειν, ὅτι ἐφ' ἕνα οἱ πάλαι τῶν φίλων ἐφοίτων, καθάπερ ἔτι καὶ νῦν οἱ βάρβαροι· μηδὲ διαιρεῖν ὃς συνάγει αὐτούς· οἱ δὲ πρὸς τὴν ἐν ᾅδου κρίσιν, οἱ δ' εἰς πόλεμον δειλίαν ποιεῖν, οἱ δὲ ἐπεὶ ἀπὸ τούτου ἄρχεται τὸ ὅλον* (cf. Iambl. 86). … *καὶ ταῦτα μέν φησιν ὁ Ἀλέξανδρος* (sc. *ἐν ταῖς τῶν φιλοσόφων διαδοχαῖς*) *ἐν τοῖς Πυθαγορικοῖς ὑπομνήμασιν* (quae memoraverat apud Laertium 8, 24, a Platonicis quidem, ut patet, conscripta) *εὑρηκέναι καὶ τὰ ἐκείνων ἐχόμενα ὁ Ἀριστοτέλης.*

6. (181)

Porphyr. vit. Pyth. 41 (ubi quae praecedunt ex Aristoxeno derivata videntur, cf. D. L. 8, 8. 21): *ἔλεγε δέ τινα καὶ μυστικῷ τρόπῳ συμβολικῶς, ἃ δὴ ἐπὶ πλέον Ἀριστοτέλης ἀνέγραψεν. οἷον ὅτι τὴν θάλατταν μὲν ἐκάλει εἶναι* (sic vitio manifesto editur pro nomine proprio, *Κρόνου* scil., ut habet Clem. Al. strom. V, 8, 51: *τοιαῦτα καὶ οἱ Πυθαγόρειοι ἠνίσσοντο, Φερσεφόνης μὲν κύνας τοὺς πλανήτας, Κρόνου δὲ δάκρυον τὴν θάλασσαν ἀλληγοροῦντες.* cf. Plut. de Is. 32: *τὸ ὑπὸ τῶν Πυθαγορικῶν λεγόμενον ὡς ἡ θάλαττα Κρόνου δάκρυόν ἐστιν*) *δάκρυον, τὰς δὲ ἄρκτους Ῥέας χεῖρας, τὴν δὲ πλειάδα Μουσῶν λύραν, τοὺς δὲ πλανήτας κύνας τῆς Περσεφόνης· τὸν δ' ἐκ χαλκοῦ κρουομένου γινόμενον ἦχον φωνὴν εἶναί τινος τῶν δαιμόνων ἐναπειλημμένην τῷ χαλκῷ.* cf. Ael. 4, 17: *καὶ τὸν σεισμὸν ἐγενεαλόγει οὐδὲν ἄλλο εἶναι ἢ σύνοδον τῶν τεθνεώτων, ἡ δὲ ἶρις ἔφασκεν ὡς αὐγὴ* (*ὡς ἡ γῆ* codd., corr. Gesn.) *τοῦ ἡλίου* (*τοῦ νείλου* codd., corr. Gesn.) *ἐστί, καὶ ὁ πολλάκις ἐμπίπτων τοῖς ὠσὶν ἦχος φωνὴ τῶν κρειττόνων.* cf. de via lactea Arist. meteor. 1, 8. Porph. de antro 25. Lob. Agl. p. 935. de tonitru Ar. analyt. post. 2, 11. de symphonia coelesti id. de coelo 1, 9. cf. Porph. 31. de anima id. de an. 1, 2 aliaque praeter fr. 5 religiose dicta et superstitiose apud Plut. qu. Rom. 95. qu. Gr. 39. Hermipp. apud D. L. 8, 10. de melanuro Iambl. protrept. p. 330 Kiessl. de furiis ib. p. 341 etc. cf. Lobeck Agl. p. 885 sqq. qui *γόητας* illas secundum Timonem Pythagorae *δόξας* collegit.

7. (182)

Pergit Porphyrius ib. 42: *ἦν δὲ καὶ ἄλλο εἶδος τῶν συμβόλων τοιοῦτον· ζυγὸν μὴ ὑπερβαίνειν, τουτέστι μὴ πλεονεκτεῖν. μὴ τὸ πῦρ τῇ μαχαίρᾳ σκαλεύειν, ὅπερ ἦν μὴ τὸν ἀνοιδοῦντα καὶ ὀργιζόμενον κινεῖν λόγοις παρατεθηγμένοις. στεφανόντε μὴ τίλλειν, τουτέστι τοὺς νόμους μὴ λυμαίνεσθαι· στέφανοι γὰρ πόλεων οὗτοι. πάλιν δ' αὖ ἕτερα τοιαῦτα· μὴ καρδίαν ἐσθίειν, οἷον μὴ λυπεῖν ἑαυτὸν ἀνίαις. μηδ' ἐπὶ χοίνικος καθέζεσθαι, οἷον μὴ ἀργὸν ζῆν. μηδ' ἀποδημοῦντα ἐπιστρέφεσθαι,* (add. *τουτέστι*) *μὴ ἔχεσθαι τοῦ βίου τούτου ἀποθνήσκοντα. τὰς δὲ λεωφόρους μὴ βαδίζειν, δι' οὗ ταῖς τῶν πολλῶν ἕπεσθαι γνώμαις ἐκώλυεν, τάς τε τῶν ὀλίγων καὶ πεπαιδευμένων μεταθεῖν* (*παρῄνει* scil.). *μηδὲ χελιδόνας ἐν οἰκίαις δέχεσθαι, τουτέστι λάλους ἀνθρώπους καὶ περὶ γλῶτταν ἀκρατεῖς ὁμορόφίους μὴ ποιεῖσθαι. φορτίον δὲ συνανατιθέναι μὲν τοῖς βαστάζουσιν, συγκαθαιρεῖν δὲ μή, δι' οὗ παρῄνει μηδενὶ πρὸς ῥαστώνην ἀλλὰ πρὸς ἀρετὴν καὶ πόνους συμπράττειν. θεῶν τε εἰκόνας ἐν δακτυλίοις μὴ φορεῖν, τουτέστι τὴν περὶ θεῶν δόξαν καὶ λόγον μὴ πρόχειρον μηδὲ φανερὸν ἔχειν μηδ' εἰς πολλοὺς φέρειν. σπονδάς τε ποιεῖσθαι τοῖς θεοῖς κατὰ τὸ οὖς τῶν ἐκπωμάτων· ἐντεῦθεν γὰρ ᾐνίττετο τιμᾶν τοὺς θεοὺς καὶ ὑμνεῖν τῇ μουσικῇ· αὕτη γὰρ δι' ὤτων χωρεῖ. μηδ' ἐσθίειν ὅσα μὴ θέμις* (cuius praecepti sequitur uberior explicatio).

Haec qui exprimit (scil. ex Porphyrio, cuius primum librum historiae philosophicae id est hunc ipsum de vita Pythagorae in eadem re citat Cyrillus c. Iul. IX p. 300 ed. Lips. 1696) Hieronymus adv. Rufin. l. III p. 469 (t. IV, 2 Par. 1706) ipsi etiam sicut ea quae praecedunt Aristoteli tribuit: *Pythagorica et illa praecepta sunt, amicorum omnia esse communia . . . illaque aenigmata, quae diligentissime Aristoteles in suis libris prosequitur: stateram ne transilias, id est ne praetergrediare iustitiam. ignem gladio ne fodias, iratum videlicet et tumidum animum verbis maledicis ne lacessas. coronam minime carpendam, id est leges urbium conservandas. cor non comedendum, id est moerorem de animo proiiciendum. quum profectus fueris, inquit, ne redeas, id est post mortem vitam ipsam ne desideres. per viam publicam ne ambules, id est ne multorum sequaris errores. hirundinem in domum non suscipiendam, id est garrulos et verbosos homines sub eodem tecto non habendos. oneratis superponendum, onus deponentibus non communicandum, id est ad virtutem incedentibus augmentanda praecepta, tradentes se otio relinquendos. et quia Pythagorica dogmata legisse me dixeram . . .*

Eadem symbola aliaque plura multi recensent similesque explicationes addunt, velut Demetrius Byzantius *ἐν τετάρτῳ περὶ ποιημάτων* (Athen. X, 77), Clemens Alex. strom. V c. 5, Plutarchus de liberis educ. c. 17 (et singula passim idem, velut qu. conv. 8, 7, 1. 2. 4. 7, 4, 6 etc.) et maxime Iambl. protrept. c. 21 et Laertius 8, 17 (ed. Cob.): *ἦν δ' αὐτῷ σύμβολα τάδε· πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, ζυγὸν μὴ ὑπερβαίνειν, ἐπὶ χοίνικος μὴ καθίζειν, καρδίαν μὴ ἐσθίειν, φορτίον μὴ συγκαθαιρεῖν συνεπιτιθέναι δέ, τὰ στρώματα ἀεὶ συνδεδεμένα ἔχειν, ἐν δακτυλίῳ εἰκόνα θεοῦ μὴ περιφέρειν, χύτρας ἴχνος συγχεῖν ἐν τῇ τέφρᾳ, δᾳδίῳ θᾶκον μὴ ὀμόργνυσθαι, πρὸς ἥλιον τετραμμένον μὴ ὀμίχειν, τὰς λεωφόρους μὴ βαδίζειν, μὴ ῥᾳδίως δεξιὰν ἐμβάλλειν* (cf. Plut. de amic. mult. 6), *ὁμοροφίους χελιδόνας μὴ ἔχειν, γαμψώνυχα μὴ τρέφειν, ἀπονυχίσμασι καὶ κουραῖς μὴ ἐπουρεῖν μηδὲ ἐφίστασθαι, ὀξεῖαν μάχαιραν ἀποστρέφειν, ἀποδημοῦντα ἐπὶ τοῖς ὅροις ἀνεπιστρεπτεῖν. ἤθελε δ' αὐτῷ τὸ μὲν πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, δυναστῶν ὀργὴν καὶ οἰδοῦντα θυμὸν μὴ κινεῖν· τὸ δὲ ζυγὸν μὴ ὑπερβαίνειν, τὸ ἴσον καὶ δίκαιον μὴ ὑπερβαίνειν. ἐπί τε χοίνικος μὴ καθίζειν, ἐν ἴσῳ τοῦ ἐνεστῶτος φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος· ἡ γὰρ χοῖνιξ ἡμερησία τροφή. διὰ δὲ τοῦ καρδίαν μὴ ἐσθίειν ἐδήλου μὴ τὴν ψυχὴν ἀνίαις καὶ λύπαις κατατήκειν. διὰ δὲ τοῦ εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιστρέφεσθαι παρῄνει τοῖς ἀπαλλαττομένοις τοῦ βίου μὴ ἐπιθυμητικῶς ἔχειν τοῦ ζῆν μηδ' ὑπὸ τῶν ἐνταῦθα ἡδονῶν ἐπάγεσθαι. καὶ τὰ ἄλλα προς ταῦτα λοιπόν ἐστιν ἐκλαμβάνειν ἵνα μὴ παρέλκωμεν* (iam sequuntur verba in fr. 4 adscripta, in quibus citatur Aristoteles).

Longam uniusque auctoris tenorisque de symbolis disputationem (Nicomachi qui Aristotele utitur?) apponit Iamblichus v. P. c. 18, in qua inesse certe Aristotelica verbis etiam quae superioribus passim consona reperiuntur comprobatur. ait autem ita s. 82: *πάντα δὲ τοιαῦτα ἀκούσματα διῄρηται εἰς τρία εἴδη. τὰ μὲν γὰρ αὐτῶν τί ἐστι σημαίνει, τὰ δὲ τί μάλιστα, τὰ δὲ τί δεῖ πράττειν ἢ μὴ πράττειν. τὰ μὲν οὖν τί ἐστι τοιαῦτα, οἷον τί ἐστιν αἱ μακάρων νῆσοι, ἥλιος, σελήνη; τί ἐστι τὸ ἐν Δελφοῖς μαντεῖον; τετρακτύς* (quae *κόσμος ὠνόμασται* Plut. de Is. 75 etc.)*· ὅπερ ἐστὶν ἡ ἁρμονία ἐν ᾗ αἱ Σειρῆνες* (cf. Porph. 31). *τὰ δὲ τί μάλιστα, οἷον τί τὸ δικαιότατον; θύειν. τί τὸ σοφώτατον; ἀριθμός. δεύτερον δὲ τὸ τοῖς πράγμασι τὰ ὀνόματα τιθέμενον* (cf. Procl. in Tim. p. 84ᵉ. Ael. v. h. 4, 17: *ἔλεγε δὲ ἱερώτατον εἶναι τὸ τῆς μαλάχης φύλλον. ἔλεγεν ὅτι πάντων σοφώτατον ὁ ἀριθμός, δεύτερος δὲ ὁ τοῖς πράγμασι τὰ ὀνόματα θέμενος*). *τί σοφώτατον τῶν παρ' ἡμῖν; ἰατρική. τί κάλλιστον; ἁρμονία. τί κράτιστον; γνώμη. τί ἄριστον; εὐδαιμονία. τί*

δὲ ἀληθέστατον λέγεται· ὅτι πονηροὶ οἱ ἄνθρωποι ... ἔστι δὲ αὕτη ἡ αὐτὴ τῇ τῶν ἑπτὰ σοφιστῶν (cf. de philos. fr. 8) λεγομένῃ σοφίᾳ. καὶ γὰρ ἐκεῖνοι ἐζήτουν οὐ τί ἐστι τἀγαθὸν ἀλλὰ τί μάλιστα, οὐδὲ τί τὸ χαλεπὸν ἀλλὰ τί τὸ χαλεπώτατον, ὅτι τὸ αὑτὸν γνῶναι, οὐδὲ τί τὸ ῥᾴδιον ἀλλὰ τί τὸ ῥᾷστον, ὅτι τῷ ἔθει χρῆσθαι. τῇ τοιαύτῃ γὰρ σοφίᾳ μετηκολουθηκέναι ἔοικε τὰ τοιαῦτα ἀκούσματα· πρότερον γὰρ οὗτοι Πυθαγόρου ἐγένοντο. τὰ δὲ τί πρακτέον ἢ οὐ πρακτέον τῶν ἀκουσμάτων τοιαῦτά ἐστιν, οἷον ὅτι δεῖ τεκνοποιεῖσθαι· δεῖ γὰρ ἀντικαταλιπεῖν τοὺς θεραπεύοντας τὸν θεόν. ἢ ὅτι δεῖ τὸν δεξιὸν ὑποδεῖσθαι πρότερον. ἢ ὅτι οὐ δεῖ τὰς λεωφόρους βαδίζειν ὁδοὺς οὐδὲ εἰς περιρραντήριον ἐμβάπτειν οὐδὲ ἐν βαλανείῳ λούεσθαι· ἄδηλον γὰρ ἐν πᾶσι τούτοις εἰ καθαρεύουσιν οἱ κοινωνοῦντες (cf. Ael. 4, 17). καὶ ἄλλα τάδε· φορτίον μὴ συγκαθαιρεῖν· οὐ γὰρ δεῖ αἴτιον γίνεσθαι τοῦ μὴ πονεῖν, συνανατιθέναι δέ. χρυσὸν ἐχούσῃ μὴ πλησιάζειν ἐπὶ τεκνοποιίᾳ. μὴ λέγειν ἄνευ φωτός. σπένδειν τοῖς θεοῖς κατὰ τὸ οὖς τῆς κύλικος οἰωνοῦ ἕνεκα καὶ ὅπως μὴ ἀπὸ τοῦ αὐτοῦ πίνηται. ἐν δακτυλίῳ μὴ φέρειν σημεῖον θεοῦ εἰκόνα, ὅπως μὴ μιαίνηται· ἄγαλμα γάρ, ὅπερ δεῖ φυτεῦσαι ἐν τῷ οἴκῳ. γυναῖκα οὐ δεῖ διώκειν τὴν αὑτοῦ· ἱκέτις γάρ, διὸ καὶ ἀφ' ἑστίας ἀγόμεθα καὶ ἡ λῆψις διὰ δεξιᾶς (cf. Iambl. 48. Pseudar. oecon. 1344, 10: καθάπερ οἱ Πυθαγόρειοι λέγουσιν, ὥσπερ ἱκέτιν καὶ ἀφ' ἑστίας ἠγμένην ὡς ἥκιστα δεῖν ἀδικεῖν). μηδὲ ἀλεκτρυόνα λευκὸν θύειν· ἱκέτης γάρ, ἱερὸς τοῦ Μηνός, διὸ καὶ σημαίνουσιν ὥραν (cf. D. L. 8, 34. Iambl. protr. p. 346 Kiessl.). καὶ συμβουλεύειν μηδὲν παρὰ τὸ βέλτιστον τῷ συμβουλευομένῳ· ἱερὸν γὰρ συμβουλή. ἀγαθὸν οἱ πόνοι, αἱ δὲ ἡδοναὶ ἐκ παντὸς τρόπου κακόν· ἐπὶ κολάσει γὰρ ἐλθόντας δεῖ κολασθῆναι. θύειν χρὴ ἀνυπόδετον καὶ πρὸς τὰ ἱερὰ προσιέναι. εἰς ἱερὸν οὐ δεῖ ἐκτρέπεσθαι· οὐ γὰρ πάρεργον δεῖ ποιεῖσθαι τὸ θεῖον (cf. P. 38. Iambl. protr. p. 320). ὑπομένοντα καὶ ἔχοντα τραύματα ἐν τῷ ἔμπροσθεν τελευτῆσαι ἀγαθόν, ἐναντίως δὲ ἐναντίον. εἰς μόνα τῶν ζώων οὐκ εἰσέρχεται ἀνθρώπου ψυχὴ ἃ θέμις ἐστὶ τυθῆναι· διὰ τοῦτο τῶν θυσίμων χρὴ ἐσθίειν μόνον οἷς ἂν τὸ ἐσθίειν καθήκῃ, ἄλλου δὲ μηδενὸς ζῴου (Porph. de abst. p. 153. 168 sq. cf. v. P. 34. 42. D. L. 8, 20. cf. P. 36). τὰ μὲν οὖν τοιαῦτα τῶν ἀκουσμάτων ἐστί, τὰ δὲ πλεῖστον ἔχοντα μῆκος περί τε θυσίας καθ' ἑκάστους τοὺς καιροὺς πῶς χρὴ ποιεῖσθαι τάς τε ἄλλας καὶ περὶ μετοικήσεως τῆς ἐντεῦθεν καὶ περὶ τὰς ταφὰς πῶς δεῖ καταθάπτεσθαι. ἐπ' ἐνίων μὲν οὖν ἐπιλέγεται διὰ τί δεῖ, οἷον ὅτι δεῖ τεκνοποιεῖσθαι ἕνεκα τοῦ καταλιπεῖν ἕτερον ἀνθ' ἑαυτοῦ θεῶν θεραπευτήν· τοῖς δὲ οὐδεὶς λόγος πρόσεστι. καὶ ἔνια μὲν τῶν ἐπιλεγομένων δόξει προσπεφυκέναι

ἅπερ ἂν ᾖ, ἔνια δὲ πόῤῥω, οἷον περὶ τοῦ τὸν ἄρτον μὴ καταγνύναι ὅτι πρὸς τὴν ἐν ᾅδου κρίσιν συμφέρει. αἱ δὲ προστιθέμεναι εἰκοτολογίαι περὶ τῶν τοιούτων οὐκ εἰσὶ Πυθαγορικαὶ ἀλλ' ἐνίων ἔξωθεν ἐπισοφιζομένων καὶ πειρωμένων προσάπτειν εἰκότα λόγον, οἷον καὶ περὶ τοῦ νῦν λεχθέντος διὰ τί οὐ δεῖ καταγνύναι τὸν ἄρτον. οἱ μὲν γάρ φασιν ὅτι οὐ δεῖ τὸν συνάγοντα διαλύειν· τὸ γὰρ ἀρχαῖον βαρβαρικῶς πάντες ἐπὶ ἕνα ἄρτον συνῄεσαν (συνίεσαν vulgo) οἱ φίλοι (cf. D. L. 8, 35)· οἱ δ' ὅτι οὐ δεῖ οἰωνὸν ποιεῖσθαι καταγνύντα καὶ συντρίβοντα.

8. (183)

Marcianus Capella lib. VII (de arithmetica) § 731 ed. Kopp. Frf. a. M. 1836 p. 584: *licet Aristoteles, unus e sectatoribus meis* (sc. Philosophiae), *ex eo quod unum solum ipsa* (sc. monas) *sit et se quaeri semper velit, Cupidinem asserat nominatam, quod se cupiat, siquidem ultra nihil habeat et expers totius elationis aut copulae in se proprios detorquet ardores.* [*hanc quoque alii concordiam, hanc pietatem amicitiamque dixere, quod illa nectatur ut non secetur in partes. tamen rectius Iupiter nuncupatur* etc.

9. (184)

Theon. Smyrn. arithm. c. 5 (p. 30 ed. de Gelder L. B. 1827): τῶν δὲ ἀριθμῶν ποιοῦντα τὴν πρώτην τομὴν εἰς δύο· τοὺς μὲν γὰρ αὐτῶν ἀρτίους, τοὺς δὲ περιττούς φασι ... πρώτην δὲ τῶν περιττῶν ἔνιοι ἔφασαν μονάδα ... Ἀριστοτέλης δὲ ἐν τῷ Πυθαγορικῷ τὸ ἓν φησιν ἀμφοτέρων μετέχειν τῆς φύσεως· ἀρτίῳ μὲν γὰρ προστεθὲν περιττὸν ποιεῖ, περιττῷ δὲ ἄρτιον, ὃ οὐκ ἂν ἠδύνατο εἰ μὴ ἀμφοῖν ταῖν φύσεοιν μετεῖχε· διὸ καὶ ἀρτιοπέριττον καλεῖσθαι τὸ ἕν. συμφέρεται δὲ τούτοις καὶ Ἀρχύτας.

Loquebatur hoc loco Pseudaristoteles de numeris rerum principiis ipsisque numeri principiis quae dicit περιττὸν καὶ ἄρτιον (non vero πέρας καὶ ἄπειρον, quae sunt principia Platonis et Platonicorum, cf. Ar. metaph. 3, 2. 1024, 32 ibique Alex. p. 217, 32. phys. 1, 5. 188b 34. licet enim in contrariorum recensione apud Aristotelem occurrat πέρας καὶ ἄπειρον, unde Platonicorum usui obtemperans vel initium faciat, haec non ideas volunt ut apud Platonem sed τὰ πεπερασμένα καὶ ἄπειρα ipsasque res, sicut ex Pythagoreorum sententia quam florente academia scripto tradere conatus est, recte statuit Pseudophilolaus Platonicus. v. Ar. phys. 3, 4. 203, 6. cf. Alex. in met. p. 36, 2. 40, 17. 46, 23) ad ipsius magistri exemplum, qui sic in metaphysicis (1, 5): φαίνονται δὴ καὶ

οὗτοι τὸν ἀριθμὸν νομίζοντες ἀρχὴν εἶναι καὶ ὡς ὕλην τοῖς οὖσι καὶ ὡς πάθη τε καὶ ἕξεις, τοῦ δὲ ἀριθμοῦ στοιχεῖα τό τε ἄρτιον καὶ τὸ περιττόν, τούτων δὲ τὸ μὲν πεπερασμένον τὸ δὲ ἄπειρον, τὸ δ' ἓν ἐξ ἀμφοτέρων εἶναι τούτων· καὶ γὰρ ἄρτιον εἶναι καὶ περιττόν· τὸν δ' ἀριθμὸν ἐκ τοῦ ἑνός, ἀριθμοὺς δὲ καθάπερ εἴρηται τὸν ὅλον οὐρανόν. quae ubi aliis verbis exposita repetit Alexander, idem illud argumentum occurrit quod apud Theonem: *τῶν δὲ ἀριθμῶν τὴν μονάδα ἀρχὴν εἶναι συγκειμένην ἔκ τε τοῦ ἀρτίου καὶ περιττοῦ· εἶναι γὰρ τὴν μονάδα ἅμα ἀρτιοπέριττον, ὃ ἐδείκνυε διὰ τοῦ γεννητικὴν αὐτὴν εἶναι καὶ τοῦ περιττοῦ καὶ τοῦ ἀρτίου ἀριθμοῦ· ἀρτίῳ μὲν γὰρ προστιθεμένη περιττὸν γεννᾷ, περιττῷ δὲ ἄρτιον* (p. 30, 17 Bon.).

10. (185)

Arist. de coelo II, 2. 284ᵇ 6: *ἐπειδὴ δέ τινές εἰσιν οἵ φασιν εἶναί τι δεξιὸν καὶ ἀριστερὸν τοῦ οὐρανοῦ, καθάπερ οἱ καλούμενοι Πυθαγόρειοι· ἐκείνων γὰρ οὗτος ὁ λόγος ἐστίν· σκεπτέον πότερον τοῦτον ἔχει τὸν τρόπον ὡς ἐκεῖνοι λέγουσιν, ἢ μᾶλλον ἑτέρως, εἴπερ δεῖ προσάπτειν τῷ τοῦ παντὸς σώματι ταύτας τὰς ἀρχάς ...* ib. p. 285, 10: *διὸ καὶ τῶν Πυθαγορείων ἄν τις θαυμάσειεν ὅτι δύο μόνας ταύτας ἀρχὰς ἔλεγον τὸ δεξιὸν καὶ τὸ ἀριστερόν, τὰς δὲ τέτταρας* (sc. *τὸ ἄνω καὶ κάτω καὶ τὸ ἔμπροσθεν καὶ ὄπισθεν*) *παρέλειπον* (in contrariorum enumeratione — de hac enim agitur — apud Ar. metaph. I, 5. Plut. de Is. 48. Porph. v. P. 38. Eudorus apud Simpl. phys. f. 39. cf. Stob. ecl. phys. p. 360, ubi quidem qui citatur Pseudophilolaus ex Platonis Timaeo p. 62 sq. pendet) *οὐθὲν ἧττον κυρίας οὔσας.* ad haec Simplicius Pythagoreos pro more defendens p. 492, 13 Br.: *οἱ μὲν οὖν Πυθαγόρειοι εἰς δύο συστοιχίας πάσας τὰς ἀντιθέσεις ἀναγαγόντες τὴν μὲν χείρονα τὴν δὲ βελτίονα ἤτοι τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ* (sec. Ar. eth. I, 4. 2, 5. cf. Eudorus apud Simpl. phys. f. 39), *καὶ τῇ δεκάδι συμβολικῶς ὡς τῷ παντὶ ἀριθμῷ συμπληρώσαντες ἑκατέραν, ἑκάστην ἀντίθεσιν τῶν δέκα οὕτω παρέλαβον ὡς πάσας τὰς ἑαυτῆς συγγενείας συνεμφαίνουσαν* (cf. Procl. in Tim. p. 56 c). *καὶ τῶν τοπικῶν οὖν σχέσεων τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν παρέλαβον ... ἐκ τούτων καὶ τὰς ἄλλας τοπικὰς ἀντιθέσεις ἐδήλωσαν* (cf. Rose p. 82). *τ ὸ ο ὖ ν δ ε ξ ι ὸ ν καὶ ἄνω καὶ ἔμπροσθεν* (*τὸ ἄνω καὶ ἔμπροσθεν* explicantis scilicet est Aristotelis, non Pythagoreorum) *ἀ γ α θ ὸ ν ἐ κ ά λ ο υ ν, τ ὸ δ ὲ ἀ ρ ι σ τ ε ρ ὸ ν καὶ κάτω καὶ ὄπισθεν κ α κ ὸ ν ἔ λ ε γ ο ν, ὡς αὐτὸς Ἀ ρ ι σ τ ο τ έ λ η ς ἱστόρησεν ἐν τῇ τῶν Πυθαγορείοις ἀρεσκόντων συναγωγῇ.*

11. (186)

Stob. ecl. phys. I c. 18, 1 p. 380: *Ἀριστοτέλης ἐν τετάρτῳ φυσικῆς ἀκροάσεως* (IV, 6. 213^b 22) *γράφει* «*εἶναι δέ φασιν* (*ἔφασαν καὶ* Ar.) *οἱ Πυθαγόρειοι κενὸν καὶ ἐπεισιέναι αὐτὸ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος ὡς ἀναπνέοντι*» [add. Ar. *καὶ τὸ κενὸν ὃ διορίζει τὰς φύσεις, ὡς* (*αἰτίου* addendum ex Simpl. f. 152 b. p. 381, 4 Br.) *ὄντος τοῦ κενοῦ χωρισμοῦ τινὸς τῶν ἐφεξῆς καὶ τῆς διορίσεως. καὶ τοῦτ' εἶναι πρῶτον ἐν τοῖς ἀριθμοῖς· τὸ γὰρ κενὸν διορίζειν τὴν φύσιν αὐτῶν*]. *ἐν δὲ τῷ περὶ τῆς Πυθαγόρου φιλοσοφίας πρώτῳ γράφει* (scil. Pseudaristoteles Aristotelis rationem imitatus) *τὸν μὲν οὐρανὸν εἶναι ἕνα, ἐπεισάγεσθαι δ' ἐκ τοῦ ἀπείρου χρόνου τε καὶ πνοὴν καὶ τὸ κενὸν ὃ διορίζει ἑκάστων τὰς χώρας ἀεί.*

Cf. Stobaeus paulo post 18, 4 p. 390 (= Plac. philos. 2, 9. Pseudo-Galen. hist. ph. c. 12 p. 268): *οἱ μὲν ἀπὸ Πυθαγόρου ἐκτὸς εἶναι τοῦ κόσμου κενόν, εἰς ὃ ἀναπνεῖ ὁ κόσμος καὶ ἐξ οὗ.*

De tempore Ar. phys. 4, 10. 218^b 1: *οἱ μὲν γὰρ τὴν τοῦ ὅλου κίνησιν εἶναί φασιν* (*τὸν χρόνον*), *οἱ δὲ τὴν σφαῖραν αὐτήν.* de quo loco Simpl. f. 165 extr.: *οἱ μὲν τὴν τοῦ ὅλου κίνησιν καὶ περιφορὰν τὸν χρόνον εἶναί φασιν, ὡς τὸν Πλάτωνα* (in Timaeo) *νομίζουσιν ὅ τε Εὔδημος καὶ ὁ Θεόφραστος καὶ ὁ Ἀλέξανδρος, οἱ δὲ τὴν σφαῖραν αὐτὴν τοῦ οὐρανοῦ, ὡς τοὺς Πυθαγορικοὺς ἱστοροῦσι λέγειν.* cf. f. 166 extr. (ex eodem Alex.).

12. (187)

Alexander Aphrod. in comm. ad Ar. metaphysica, postquam suo sermone reddidit quae habet Ar. 1, 8. 990, 22—30 (scilicet *διὰ τούτων δείκνυσι πῶς ἐποίουν τὸν κόσμον καὶ τοὺς ἐν αὐτῷ ἀριθμούς . . . ἔλεγον γὰρ ἐν τινὶ μὲν μέρει τοῦ κόσμου δόξαν συνίστασθαι, ἐν ἄλλῳ δὲ καιρόν . . . τῆς δὲ τούτων κατὰ τὴν τάξιν τὴν τοιαύτην συστάσεως ἀπόδειξιν ἔφερον ὅτι τούτων μὲν ἕκαστον τοῦ ἀριθμοῦ ἐστίν, ἑκάστῳ δὲ τόπῳ ἐν τῷ κόσμῳ οἰκεῖός τίς ἐστιν ἀριθμός. τῷ μὲν γὰρ μέσῳ τὸ ἕν, πρῶτον γάρ ἐστιν ἐνταῦθα· μετὰ δὲ τὸ μέσον τὰ δύο, ἃ δόξαν τε ἔλεγον καὶ τόλμαν· καὶ οὕτως ἀεί . . .*) haec addit in fine (p. 56, 9): *τῆς δὲ τάξεως τῆς ἐν τῷ οὐρανῷ ἣν ἐποιοῦντο τῶν ἀριθμῶν οἱ Πυθαγόρειοι, μνημονεύει ἐν τῷ δευτέρῳ περὶ τῆς Πυθαγορικῶν δόξης.* e quo tamen libro nihil habet quod ad Aristotelis verba explicanda afferat (Rose p. 81). nam quae de numerorum symbolis secundum arithmeticam theologiam apud Platonicos vulgatissimam interposita pauca et ad ipsa Aristotelis exempla addita leguntur (1 *νοῦς οὐσία*, 2 *δόξα τόλμα κίνησις ἐπί-*

θεσις, 4 et 9 *δικαιοσύνη*, 5 *γάμος*, 7 *καιρός Ἀθηνᾶ* Alex. p. 55, 24. 28, 23—29, 21. cf. Asclep. in met. p. 540ᵇ 29, 542ᵇ 27, 559ᵇ 6. qualia novimus ex Philone Iudaeo, Nicomacho Photii, Theologumenorum arithm. editore anonymo, Io. Lydo aliisque multis), ea cave ne ex Pseudaristotele derivata coniicias.

Cf. Ar. met. 1, 8: *γεννῶσί τε γὰρ τὸν οὐρανὸν καὶ περὶ τὰ τούτου μέρη καὶ τὰ πάθη καὶ τὰ ἔργα διατηροῦσι τὸ συμβαῖνον ... ἔτι δὲ πῶς δεῖ λαβεῖν αἴτια μὲν εἶναι τὰ τοῦ ἀριθμοῦ πάθη καὶ τὸν ἀριθμὸν τῶν κατὰ τὸν οὐρανὸν ὄντων καὶ γιγνομένων* ... met. 1, 5: *καὶ τὸν ὅλον οὐρανὸν ἁρμονίαν εἶναι καὶ ἀριθμόν· καὶ ὅσα εἶχον ὁμολογούμενα δεικνύναι ἔν τε τοῖς ἀριθμοῖς καὶ ταῖς ἁρμονίαις πρὸς τὰ τοῦ οὐρανοῦ πάθη καὶ μέρη καὶ πρὸς τὴν ὅλην διακόσμησιν, ταῦτα συνάγοντες ἐφήρμοττον.* cf. Pseudar. met. 12, 6: *τὸν γὰρ ὅλον οὐρανὸν κατασκευάζουσιν ἐξ ἀριθμῶν.* Ar. phys. 3, 1: *τοῖς ἐξ ἀριθμῶν συντιθεῖσι τὸν οὐρανόν.*

13. (188)

Ad Aristotelis verba metaph. 1, 5. 986, 3: *καὶ ὅσα εἶχον ὁμολογούμενα* (cf. fr. 12) ... *ἐφήρμοττον· κἂν εἴ τι που διέλειπε, προσεγλίχοντο τοῦ συνειρομένην πᾶσαν αὐτοῖς εἶναι τὴν πραγματείαν. λέγω δ' οἷον ἐπειδὴ τέλειον ἡ δεκὰς εἶναι δοκεῖ καὶ πᾶσαν περιειληφέναι τὴν τῶν ἀριθμῶν φύσιν, καὶ τὰ φερόμενα κατὰ τὸν οὐρανὸν δέκα μὲν εἶναί φασιν, ὄντων δὲ ἐννέα μόνον τῶν φανερῶν διὰ τοῦτο δεκάτην τὴν ἀντίχθονα ποιοῦσιν. διώρισται δὲ περὶ τούτων ἐν ἑτέροις ἡμῖν ἀκριβέστερον* — quae quum ad librum postea scriptum de coelo II, 13 (cf. Rose p. 81) proprie spectent, ad librum de Pythagoreis etiam pertinere aestimavit — haec habet Alexander p. 30, 25: *αὐτίκα γοῦν τέλειον ἀριθμὸν ἡγούμενοι τὴν δεκάδα, ὁρῶντες δὲ ἐν τοῖς φαινομένοις ἐννέα τὰς κινουμένας σφαίρας, ἑπτὰ μὲν τὰς τῶν πλανωμένων, ὀγδόην δὲ τὴν τῶν ἀπλανῶν, ἐννάτην δὲ τὴν γῆν· καὶ γὰρ καὶ ταύτην ἡγοῦντο κινεῖσθαι κύκλῳ περὶ μένουσαν τὴν ἑστίαν, ὃ πῦρ ἐστι κατ' αὐτούς* (v. Ar. de coelo l. c.)· *αὐτοὶ προσέθεσαν ἐν τοῖς δόγμασι καὶ τὴν ἀντίχθονά τινα, ἣν ἀντικινεῖσθαι ὑπέθεντο τῇ γῇ καὶ διὰ τοῦτο τοῖς ἐπὶ τῆς γῆς ἀόρατον εἶναι. λέγει δὲ περὶ τούτων καὶ ἐν τοῖς περὶ οὐρανοῦ μὲν καὶ ἐν ταῖς τῶν Πυθαγορικῶν δόξαις ἀκριβέστερον.*

Celebrem Pythagoreorum de decem corporibus mundanis sententiam, de qua si accuratius quid expositum extitisset in Peripateticorum Platonicorumque libris de Pythagoreis editis, non omnis certe apud Alexandrum et commentatores (tam ad hunc metaphysicorum locum quam ad l.

de coelo) priorum memoria periisset, eandem igitur ex communi fama etiam Pseudophilolaus repetit (apud Stob. ecl. phys. p. 488. cf. p. 452).

14. (189)

Aristoteles de coelo II, 13. 293, 20: *ἐναντίως οἱ περὶ τὴν Ἰταλίαν, καλούμενοι δὲ Πυθαγόρειοι λέγουσιν. ἐπὶ μὲν γὰρ τοῦ μέσου πῦρ εἶναί φασι, τὴν δὲ γῆν ἓν τῶν ἄστρων εἶναι κύκλῳ φερομένην περὶ τὸ μέσον νύκτα τε καὶ ἡμέραν ποιεῖν. ἔτι δ' ἐναντίαν ἄλλην ταύτῃ κατασκευάζουσι γῆν, ἣν ἀντίχθονα ὄνομα καλοῦσιν, οὐ πρὸς τὰ φαινόμενα τοὺς λόγους καὶ τὰς αἰτίας ζητοῦντες, ἀλλὰ πρός τινας λόγους καὶ δόξας αὑτῶν τὰ φαινόμενα προσέλκοντες καὶ πειρώμενοι συγκοσμεῖν* (cf. met. 1, 5 *προσεγλίχοντο* etc.) ... *ἔτι δ' οἵ γε Πυθαγόρειοι* (sc. *οὐκ οἴονται ἐπὶ τοῦ μέσου κεῖσθαι τῆς σφαίρας αὐτήν, ἀλλὰ μᾶλλον τὸ πῦρ*) *καὶ διὰ τὸ μάλιστα προσῆκον φυλάττεσθαι τὸ κυριώτατον τοῦ παντός· τὸ δὲ μέσον εἶναι τοιοῦτον, ὃ Διὸς φυλακὴν ὀνομάζουσι, τὸ ταύτην ἔχον τὴν χώραν πῦρ* ... haec ita *παραφράζει* Simplicius p. 505, 18 Brand. (cf. Themist. f. 34): *ἀντιφάσκουσι δὲ οἱ Πυθαγόρειοι· τοῦτο γὰρ σημαίνει τὸ ἐναντίως· οὐ περὶ τὸ μέσον λέγοντες αὐτήν, ἀλλ' ἐν μὲν τῷ μέσῳ τοῦ παντὸς πῦρ εἶναί φασι, περὶ δὲ τὸ μέσον τὴν ἀντίχθονα φέρεσθαί φασι γῆν οὖσαν καὶ αὐτήν, ἀντίχθονα δὲ καλουμένην διὰ τὸ ἐξ ἐναντίας τῇδε τῇ γῇ εἶναι· μετὰ δὲ τὴν ἀντίχθονα ἡ γῆ ἥδε φερομένη καὶ αὐτὴ περὶ τὸ μέσον, μετὰ δὲ τὴν γῆν ἡ σελήνη· οὕτω γὰρ **αὐτὸς** ἐν τῷ πέρατι τῶν Πυθαγορικῶν ἱστορεῖ* (*sic enim ipse in fine Pythagoricorum narrat* vers. vet. lat. Ven. 1555 f. 77. ceterum cf. Pseudophilol. l. c.: *μεθ' οὓς ἥλιον, ὑφ' ᾧ σελήνην, ὑφ' ᾗ τὴν γῆν, ὑφ' ᾗ τὴν ἀντίχθονα, μεθ' ἃ σύμπαντα τὸ πῦρ* etc.)· *τὴν δὲ γῆν ὡς ἓν τῶν ἄστρων οὖσαν κινουμένην περὶ τὸ μέσον κατὰ τὴν πρὸς τὸν ἥλιον σχέσιν νύκτα καὶ ἡμέραν ποιεῖν. ἡ δὲ ἀντίχθων κινουμένη περὶ τὸ μέσον καὶ ἑπομένη τῇ γῇ οὐχ ὁρᾶται ὑφ' ἡμῶν διὰ τὸ ἐπιπροσθεῖν ἡμῖν ἀεὶ τὸ τῆς γῆς σῶμα ... τέλειον γὰρ ἀριθμὸν ὑποθέμενοι τὴν δεκάδα ἐβούλοντο καὶ τῶν κυκλοφορητικῶν σωμάτων τὸν ἀριθμὸν εἰς δέκα συνάγειν. θέντες οὖν, φησί, τὴν ἀπλανῆ μίαν καὶ τὰς πλανωμένας ἑπτὰ καὶ τὴν γῆν ταύτην σὺν τῇ ἀντίχθονι, τὴν δεκάδα ἐπλήρωσαν. καὶ οὕτω μὲν αὐτὸς τὰ τῶν Πυθαγορείων ἀπεδέξατο, οἱ δὲ γνησιώτερον αὐτῶν μετασχόντες* (Nicomachus scil. eiusque similes!) *πῦρ μὲν ἐν τῷ μέσῳ λέγουσι τὴν δημιουργικὴν δύναμιν τὴν ἐκ μέσου πᾶσαν τὴν γῆν ζωογονοῦσαν καὶ τὸ ἀπεψυγμένον αὐτῆς ἀναθάλπουσαν* (cf. schol. cod. Coisl. 166 f. 176[b] p. 504[b] 42 Br.). *διὸ οἱ μὲν Ζανὸς πύργον* (cf. Nicom. theol. ar. apud Phot. bibl. p. 143, 32 Bk. Procl. in Tim.

p. 61[c]: *ἐκεῖ γὰρ ὁ Ζανὸς πύργος, ὥς φασι.* ib. 172[a]. 282[e]. Simpl. in phys. f. 319[b]: *καὶ διὰ τοῦτο οἱ μὲν Πυθαγόρειοι Ἑστίας τόπον* vel *Ἑστίας οἶκον*, ut schol. Coisl. p. 505, 7 Br. — *καὶ Ζανὸς πύργον ἐκάλουν τὸ κέντρον) αὐτὸ καλοῦσιν, ὡς αὐτὸς ἐν τοῖς Πυθαγορικοῖς* (*ἐν τοῖς Πυθαγορείοις* in scholio cod. Coisl. 169 f. 71[b] quod ex Simplicio excerptum est) *ἱστόρησεν, οἱ δὲ Διὸς φυλακήν, ὡς ἐν τούτοις* (cf. Procl. in Eucl. p. 25), *οἱ δὲ Διὸς θρόνον* (*Διὸς οἶκον* Pseudophilolaus l. c.), *ὡς ἄλλοι φασίν. ἄστρον δὲ τὴν γῆν ἔλεγον ὡς ὄργανον καὶ αὐτὴν χρόνου· ἡμερῶν γάρ ἐστιν αὕτη καὶ νυκτῶν αἰτία. ἡμέραν μὲν γὰρ ποιεῖ τὸ πρὸς τῷ ἡλίῳ μέρος καταλαμπόμενον, νύκτα δὲ τὸ κατὰ τὸν κῶνον τῆς γινομένης ἀπ' αὐτῆς σκιᾶς. ἀντίχθονα δὲ τὴν σελήνην ἐκάλουν οἱ Πυθαγόρειοι, ὥσπερ καὶ αἰθερίαν γῆν* (recentiores scil. cf. Procl. in Tim. p. 154[a]. Lobeck Agl. p. 500), *καὶ ὡς ἀντιφράττουσαν καὶ ἐπιπροσθοῦσαν τῷ ἡλιακῷ φωτί, ὅπερ ἴδιον γῆς, καὶ ὡς ἀποπερατοῦσαν τὰ οὐράνια καθάπερ ἡ γῆ τὰ ὑπὸ σελήνην.*

Idem de coelesti ordine argumentum tractavit Eudemus in astrologica historia (quam citavit Sosigenes sec. Simpl. p. 498, 46), *τὴν τῆς θέσεως τάξιν εἰς τοὺς Πυθαγορείους πρώτους ἀναφέρων* (Simpl. de coelo p. 497, 11 Br. ad Aristot. p. 291, 31).

15. (190?)

Schol. vet. in Hesiodi theog. v. 275 *ἐσχατιῇ πρὸς νυκτός, ἵν' Ἑσπερίδες λιγύφωνοι* (p. 411 Ox.): *διὰ τοῦτο ταύτας καλεῖ, διότι κατὰ μουσικὴν ἁρμονίαν οἱ ἀστέρες κινοῦνται περὶ τὰ Γάδειρα, ὡς Ἀριστοτέλης φησί.*

De symphonia Pythagoreorum coelesti dixit Aristoteles de coelo II, 9 (metaph. 1, 5). cf. Simplic. p. 496[b] 11: *ἡ μέντοι τοῦ μὴ ἀκούειν ἡμᾶς ἀποδοθεῖσα* (ab Ar. l. c. 290[b] 28) *αἰτία ἡ διὰ συντροφίαν καὶ συνήθειαν λέγουσα θαυμάζω εἰ τοῖς Πυθαγορείοις ἐπιπρέπει τὸν Πυθαγόραν ἱστοροῦσιν* (cf. v. 26 *ὥσπερ ὁ Πυθαγόρας ἱστόρηται*) *ἀκοῦσαί ποτε τῆς τοιαύτης ἁρμονίας* (Porph. v. P. 30. cf. 31. Iambl. 65. cf. 45. Schol. Od. α, 371. Lobeck Agl. p. 944), *καίπερ καὶ ἐκείνῳ σύντροφος ἦν ὥσπερ καὶ τοῖς ἄλλοις ἀνθρώποις.*

16. (191)

Aristot. de coelo II, 2. 285, 22: *δῆλον τοίνυν ὅτι ὁ ἀφανὴς πόλος ἐστὶ τὸ ἄνω. καὶ οἱ μὲν ἐκεῖ οἰκοῦντες ἐν τῷ ἄνω εἰσὶν ἡμισφαιρίῳ καὶ πρὸς τοῖς δεξιοῖς, ἡμεῖς δ' ἐν τῷ κάτω καὶ πρὸς τοῖς ἀριστεροῖς, ἐναντίως ἢ ὡς οἱ Πυθαγόρειοι λέγουσιν· ἐκεῖνοι γὰρ ἡμᾶς ἄνω τε*

ποιοῦσι καὶ ἐν τῷ δεξιῷ μέρει, τοὺς δ' ἐκεῖ κάτω καὶ ἐν τῷ αριστερῷ. συμβαίνει δὲ τοὐναντίον. ἀλλὰ τῆς μὲν δευτέρας περιφορᾶς, οἷον τῆς τῶν πλανήτων (opp. *τοῦ οὐρανοῦ ἡ περιφορά* v. 17), *ἡμεῖς μὲν ἐν τοῖς ἄνω καὶ ἐν τοῖς δεξιοῖς ἐσμέν, ἐκεῖνοι δὲ ἐν τοῖς κάτω καὶ ἐν τοῖς ἀριστεροῖς. ἀνάπαλιν γὰρ τούτοις ἡ ἀρχὴ τῆς κινήσεως*... ad hunc locum ita Simplicius p. 492[b] 39 Br.: *πῶς δὲ τοὺς Πυθαγορείους ἡμᾶς ἄνω ποιεῖν φησὶ καὶ ἐν τῷ δεξιῷ, τοὺς δὲ ἐκεῖ κάτω καὶ ἐν τῷ ἀριστερῷ, εἴπερ ὡς αὐτὸς ἐν τῷ δευτέρῳ τῆς συναγωγῆς τῶν Πυθαγορικῶν ἱστορεῖ, τοῦ ὅλου οὐρανοῦ τὰ μὲν ἄνω λέγουσιν εἶναι τὰ δὲ κάτω, καὶ τὸ μὲν κάτω τοῦ οὐρανοῦ δεξιὸν εἶναι τὸ δὲ ἄνω ἀριστερόν, καὶ ἡμᾶς ἐν τῷ κάτω εἶναι; ἢ τὸ μὲν ἄνω καὶ πρὸς τοῖς δεξιοῖς ἐνταῦθα λεγόμενον οὐ κατὰ τὸ ἑαυτῷ ἀρέσκον εἶπεν ἀλλὰ κατὰ τοὺς Πυθαγορείους· ἐκεῖνοι γὰρ τῷ δεξιῷ τὸ ἄνω καὶ τὸ ἔμπροσθεν συνέταττον* (see. Simpl. cit. in fr. 10), *τῷ δὲ ἀριστερῷ τὸ κάτω καὶ τὸ ὄπισθεν. τὰ δὲ ἐν τῇ τῶν Πυθαγορικῶν συναγωγῇ μεταγεγράφθαι μᾶλλον ὑπό τινος ὁ Ἀλέξανδρος οἴεται ὀφείλοντα ἔχειν οὕτω, τὸ μὲν ἄνω τοῦ οὐρανοῦ δεξιὸν εἶναι τὸ δὲ κάτω ἀριστερὸν καὶ ἡμᾶς ἐν τῷ ἄνω εἶναι, οὐχὶ ἐν τῷ κάτω ὡς γέγραπται· οὕτω γὰρ ἂν συνᾴδοι τοῖς ἐνταῦθα λεγομένοις, ὅτι ἡμᾶς κάτω λέγοντες οἰκεῖν καὶ διὰ τοῦτο καὶ ἐν τοῖς ἀριστεροῖς, εἴπερ τῷ ἀριστερῷ τὸ κάτω συντέτακται, ἐναντίως λεγόμενον ἢ ὡς οἱ Πυθαγόρειοι λέγουσιν ἄνω καὶ ἐν τοῖς δεξιοῖς. καὶ τάχα ἔχει λόγον τὸ μεταγεγράφθαι, εἴπερ οἶδεν ὁ Ἀριστοτέλης τῷ μὲν δεξιῷ τὸ ἄνω τῷ δὲ ἀριστερῷ τὸ κάτω συντάττοντας.* cf. Themistius de coelo (Moyse Alatino interprete Ven. 1574) f. 26[b]: *siquidem Pythagorei dicunt superiorem partem eam esse, quae dextrae e regione existit. quemadmodum invenimus Aristotelem iis annotationibus carpere eos, quas adversus Pythagoreorum sententias conscripsit: ubi contra eos disputat qui superiorem partem dextram esse contendebant.*

Ex hac Alexandri opinione a Simplicio memorata manifestum esse puto, quae ex falsi Aristotelis libro ille attulerat (eadem scilicet quae priore loco tetigit Simpl. fr. 10), ab aliis allata eum repperisse. non enim adeo incertus haereret, qui ipse quae auctor ille Aristotelem imitatus pluribus necessario exposuerat, prae oculis habuisset. ceterum de ipsa re cf. Boeckh, Untersuchungen über das kosmische System des Platon. Berl. 1852 p. 109 (Lobeck Agl. p. 915).

XXXVII.

Περὶ τῆς Ἀρχυτείου φιλοσοφίας.

Galen. de simpl. med. IV p. 653: *ἅπαντα δὲ τὰ γλυκέα τῇ μὲν θερμότητι πλησίον ἥκει τῶν σωμάτων οἷς φαίνεται γλυκέα, κατὰ διττὸν δὲ τρόπον, ὡς εἴρηται* (cf. p. 652), *γίνεται* (p. 654:) *τοιαῦτα· τινὰ μὲν οἰκείῳ θερμῷ καθάπερ τὸ μέλι, τινὰ δ' ἐπικτήτῳ καθάπερ ἅπαντα τὰ διὰ πυρὸς σκευαζόμενα· καὶ διὰ τοῦτό περ ἄχρις ἂν ᾖ θερμά, μέχρι τοσοῦδε καὶ ἡδίω φαίνεται τοῖς ἀναθρέψεως δεομένοις* (aliter Pseudar. probl. 22, 12). *ἔοικε δὲ καὶ τὸ γλεῦκος οὐκ οἰκείᾳ μόνον ἀλλὰ καὶ ἐπικτήτῳ θερμασίᾳ φαίνεσθαι γλυκύ· πολὺ γάρ, ὡς καὶ Θεόφραστος καὶ Ἀριστοτέλης ἔλεγε, τὸ ἐκ τῆς ἡλιακῆς θερμασίας οἷον ἐμπύρευμά τι ταῖς τε ῥαξὶ καὶ τοῖς ἄλλοις ὑπάρχει καρποῖς, ὑφ' οὗ τὸ ὑδατῶδες ἐν αὐτοῖς ἔτι καὶ οἷον ἡμίπεπτον εἰς πέψιν ἄγεται* (cf. Theophr. c. pl. 6, 7) *καὶ κατεργάζεται τῷ μεταβάλλοντι συνεξομοιούμενον, ὥστε κἂν ἀποθλίψῃς τὸν χυλὸν ὀπώρας ἡστινοσοῦν, εὑρήσεις μὲν εὐθέως ζέοντα καθάπερ τὸ γλεῦκος* (cf. probl. 22, 8. 930[b]23. Ar. meteor. 385[b]3), *ἐν δὲ τῷ μᾶλλόν τε καὶ ἧττον διαφέρουσαν τὴν ζέσιν εἰς ὅσον ἂν καὶ ὁ καρπὸς τοῦ καρποῦ διαφέρει θερμότητος. μεταβληθέντος δὲ καὶ κατεργασθέντος τοῦ ὑδατώδους τε καὶ ἡμιπέπτου καὶ τῆς τὴν ζέσιν ἐργαζομένης θερμασίας διαπνευσάσης, αἱ τῶν χυλῶν οἰκεῖαι φαίνονται ποιότητες εἰλικρινεῖς.*

16. (209)

Pseudo-Iuliani epist. 24 (i. e. sophistae cuiusdam Damasceni [aut certe Syri, qui urbem suam Damascum laudibus effert et *τὸ παρ' ἡμῖν σῦκον* p. 35 quasi omnium praestantissimum] qui e schola Libanii fuerit, ficos centum Damascenas ad Serapionem dono mittentis declamatio rhetorica de ficorum primum, deinde [cf. p. 37] de numeri centum dignitate, cui argumento plane similis extat anonymi epistola de sex pomorum dono ed. in Revue de philol. t. II. 1847. p. 200) ed. Heyler. Mogunt. 1828. p. 33: *σῦκον δὲ οὐκ αἰσθήσει μόνον ἡδὺ ἀλλὰ καὶ ἀναδόσει κρεῖττόν ἐστι* (cf. Philotimus *ἐν τῷ γ' περὶ τροφῆς* ap. Athen. III p. 79. Herodot. Lyc. ib. p. 78. Galen. de alim. fac. t. VI p. 570). *οὕτω δέ ἐστιν ἀνθρώποις ὠφέλιμον, ὥστε καὶ ἀλεξιφάρμακον* (cf. Suid. s. *σῦκον*. idem hac epistola utitur v. *μέλι*) *αὐτὸ παντὸς ὀλεθρίου φαρμάκου φησὶν Ἀριστοτέλης εἶναι καὶ τοῖς δείπνοις οὐκ ἄλλου τινὸς ἢ τούτου χάριν τῶν ἐδεσμάτων προτίθεσθαί τε καὶ ἐπιτραγηματίζεσθαι, καθάπερ ἀντ' ἄλλης τινὸς ἀλεξήσεως ἱερᾶς ταῖς τῶν βρωμάτων ἀδικίαις περιπτυσσόμενον. καὶ μὴν ὅτι θεοῖς τὸ σῦκον ἀνάκειται καὶ θυσίας ἐστὶν ἁπάσης ἐπιβώμιον καὶ ὅτι παντὸς λιβανωτοῦ κρεῖττον ἐς θυμιάματος*

σκευασίαν ἐστίν, οὐκ ἐμὸς ἴδιος οὗτος ο λόγος, ἀλλ' ὅστις τὴν χρείαν αὐτοῦ ἔμαθεν οἶδεν ὡς ἀνδρὸς σοφοῦ (eiusdem scil. Aristotelis) *καὶ ἱεροφάντου λόγος ἐστί. Θεόφραστος δὲ ὁ καλὸς ἐν γεωργίας παραγγέλμασι* (cf. etiam c. pl. 1, 6. h. pl. 2, 5, 4) *τὰς τῶν ἑτεροφύτων δένδρων γενέσεις ἐκτιθεὶς καὶ ὅσαι ἀλληλούχοις ἐγκεντρίσεσιν εἴκουσι, πάντων οἶμαι τῶν φυτῶν μᾶλλον ἐπαινεῖ τῆς συκῆς τὸ δένδρον . . .*

17. (210)

Schol. in Aristoph. vesp. 145 *συκίνῳ: ὅτι καὶ οἱ δικασταὶ δριμύτατοι καὶ ὁ γέρων. καπνοποιὸν γὰρ τὸ σύκινον ξύλον· καὶ ὅτι ὁ ἐκ τῶν συκίνων ξύλων καπνὸς δριμύτατος, καὶ Ἀριστοτέλης φησὶν ἐν προβλήματι* (corr. *-σι*).

Haec a problematum collectore ducta erant ex Theophrasti l. de igne 72: *ἡ δὲ δριμύτης τοῦ καπνοῦ κατὰ τὴν ὑγρότητα τὴν ἑκάστου· διὸ καὶ ἀπὸ τῶν συκίνων δριμύς· ὀπωδέστατον γάρ* (cf. Theophr. h. pl. 5, 9, 5).

18. (211)

Plutarch. de Is. et Osir. 80: . . . *ἐπιθυμιῶσι. διαλύει γὰρ ἡ θερμότης καὶ σκίδνησι τὸ συνιστάμενον ἐν τῷ περιέχοντι θολερὸν καὶ ἰλυῶδες. καὶ γὰρ οἱ ἰατροὶ πρὸς τὰ λοιμικὰ πάθη βοηθεῖν δοκοῦσι φλόγα πολλὴν ποιοῦντες ὡς λεπτύνουσαν τὸν ἀέρα. λεπτύνει δὲ βέλτιον, ἐὰν εὐώδη ξύλα καίωσιν οἷα κυπαρίττου καὶ ἀρκεύθου καὶ πεύκης. Ἄκρωνα γοῦν τὸν ἰατρὸν ἐν Ἀθήναις ὑπὸ τὸν μέγαν λοιμὸν εὐδοκιμῆσαι λέγουσι πῦρ κελεύοντα παρακαίειν τοῖς νοσοῦσιν· ὤνησε γὰρ οὐκ ὀλίγους. Ἀριστοτέλης δέ φησι καὶ μύρων καὶ ἀνθέων καὶ λειμώνων εὐώδεις ἀποπνοίας οὐκ ἔλαττον ἔχειν τοῦ πρὸς ἡδονὴν τὸ πρὸς ὑγείαν, ψυχρὸν ὄντα φύσει καὶ παγετώδη τὸν ἐγκέφαλον ἠρέμα τῇ θερμότητι καὶ λειότητι διαχεούσας.* cf. qu. conv. III, 1, 3: *ἐνίων δ' ἀνθῶν ὀσμαῖς ἄνω σκιδναμέναις περὶ τὸν ἐγκέφαλον οἵ τε πόροι τῶν αἰσθητηρίων ἐκκαθαίρονται, καὶ λεπτύνεται τὰ ὑγρὰ πρᾴως ἄνευ πληγῆς καὶ σάλου τῇ θερμότητι διακρινόμενα, καὶ φύσει ψυχρὸς ὢν ὁ ἐγκέφαλος ἀναθάλπεται.* quibus consimilia habet Clem. Alex. paedag. II, 8, 71 (cf. 70. 68), de sertorum atque unguentorum usu et ipse ex eodem fonte disputans.

Ad problemata *ὅσα περὶ τὰ εὐώδη* fortasse pertinet locus Apollonii mir. 42: *τῶν παρατετηρημένων ἐστὶ τὸ καὶ τοῖς λευκοίοις ἄνθεσιν ἢ στεφάνοις διὰ νυκτὸς λύχνους παρακαίεσθαι, ἵνα εἰς τὴν πρωίαν ταῦτα παραμένῃ ἀμάραντα. ποιοῦσι δὲ τοῦτο οἱ στεφανηπλόκοι.*

19. (212)

Gellius 3, 6: *Per hercle rem mirandam* **A r i s t o t e l e s** *in septimo (?) problematorum et Plutarchus in octavo symposiacorum dicit. si super palmae, inquiunt, arboris lignum magna pondera imponas ac tam graviter urgeas oneresque ut magnitudo oneris sustineri non queat, non deorsum palma cedit nec intra flectitur, sed adversus pondus resurgit et sursum nititur recurvaturque. propterea, inquit Plutarchus, in certaminibus palmam signum esse placuit victoriae, quoniam ingenium ligni eiusmodi est, ut urgentibus opprimentibusque non cedat.*

Ex Aristotele igitur (*ἐκ μέσων ἀνεσπασμένα τῶν περιπατητικῶν τόπων* § 1) Plutarchus qu. conv. VIII, 4, 5: *ἴδιον δὲ παρὰ ταῦτα πάντα καὶ μηδενὶ συμβεβηκὸς ἑτέρῳ τὸ μέλλον λέγεσθαι· φοίνικος γὰρ ξύλον ἂν ἄνωθεν ἐπιθεὶς βάρη πιέζῃς, οὐ κάτω θλιβόμενον ἐνδίδωσιν, ἀλλὰ κυρτοῦται πρὸς τοὐναντίον ὥσπερ ἀνθιστάμενον τῷ βιαζομένῳ. τοῦτο δὴ καὶ περὶ τοὺς ἀθλητικοὺς ἀγῶνάς ἐστι* (erat enim quaestio haec: *διὰ τί τῶν ἱερῶν ἀγώνων ἄλλος ἄλλον ἔχει στέφανον, τὸν δὲ φοίνικα πάντες*)· *τοὺς μὲν γὰρ ὑπ' ἀσθενείας καὶ μαλακίας εἴκοντας αὐτοῖς πιέζουσι κάμπτοντες, οἱ δὲ ἐρρωμένως ὑπομένοντες τὴν ἄσκησιν οὐ μόνον τοῖς σώμασιν ἀλλὰ καὶ τοῖς φρονήμασιν ἐπαίρονται καὶ αὔξοῦνται.*

20. (213)

Apollon. mirab. 21: *τῶν παρατετηρημένων δ' ἐστὶ τὸ τὰ δίχηλα μόνα τῶν ζώων εἰς τοὺς ὀπισθίους πόδας ἀστραγάλους ἔχειν* (ex Ar. part. an. 4, 10. 690, 15: *διὰ γὰρ τοῦτο καὶ ἐν τοῖς ἐμπροσθίοις οὐκ ἔχουσιν ἀστράγαλον τὰ ἔχοντα ἀστράγαλον* [sc. *τὰ δίχηλα*] *ἀλλ' ἐν τοῖς ὄπισθεν, ὅτι δεῖ ἐλαφρὰ εἶναι τὰ ἡγούμενα καὶ εὔκαμπτα, τὸ δ' ἀσφαλὲς καὶ τὴν τάσιν ἐν τοῖς ὄπισθεν* etc.). *ἀποδέδωκεν τὴν αἰτίαν* ***Ἀ ρ ι σ τ ο τ έ λ η ς*** *ἐν τοῖς φυσικοῖς προβλήμασιν* (similia nunc leguntur in probl. ined. 2, 131 sqq.). *διὰ τί ἐν τοῖς ὀπισθίοις καὶ οὐκ ἐμπροσθίοις. οὐδὲν γὰρ μάτην ἡ φύσις ἐποίησεν.*

Rationes negligit qui multas Aristotelis *ἐν τοῖς φυσικοῖς προβλήμασιν* (ita sexies c. 7. 9. 21. 28. 37. 51, semel c. 22 simpliciter *ἐν τοῖς πρ.*) quaestiones exscripsit (editas quidem in c. 7. 22. 23 in. 37, ineditas c. 9. 21. 28. 51 et fortasse etiam 23. 42. 45, ubi *παρατετηρημένα* dicuntur de quibus quaeritur, sicut ex Arist. c. 21. 28. 35. probl. ined. 2, 56 etc. et saepe apud Cassium) Apollonius, *τὰ θαυμαστὰ* sola colligens.

Etiam quae statim sequuntur c. 22—23 ex Aristotele omnia, neque proxima tantum, petita videntur: *συνῶπται δὲ ἐν τῷ βίῳ καὶ τὸ μη-*

δὲν τῶν κερασφόρων ζώων ἀποψοφεῖν. ἀποδέδωκεν δὲ καὶ τούτων τὴν αἰτίαν Ἀριστοτέλης ἐν τοῖς προβλήμασιν (et quidem in editis 10, 44). *θαυμαστὸν δὲ καὶ τὸν ἥλιον ἐπικαίειν ἡμᾶς, τὸ δὲ πῦρ μηδ᾽ ὅλως* (probl. 38, 7: *διὰ τί ὁ μὲν ἥλιος ἐπικάει, τὸ δὲ πῦρ οὔ;*), *καὶ τὸ τὸν ἀδάμαντα μὴ θερμαίνεσθαι πυρούμενον* (cf. Theophr. de lap. 19) *καὶ μάγνητα λίθον ἡμέρας μὲν οὔσης ἕλκειν, νυκτὸς δὲ ἧττον ἢ οὐδὲ ὅλως ἕλκειν.*

21. (214)

Plutarch. qu. conv. II, 2: *Διὰ τί βρωτικώτεροι γίνονται περὶ τὸ μετόπωρον ... Λαμπρίᾳ* (quem personam colloquii fingit) *δὲ καὶ ἀνάγκη πρὸ τοῦ κήπου* (Epicuri) *κυδαίνοντι τὸν περίπατον καὶ τὸ Λύκειον ἔργῳ μαρτυρεῖν Ἀριστοτέλει· φησὶ γὰρ ὁ ἀνὴρ βρωτικώτατον ἕκαστον αὐτὸν αὑτοῦ περὶ τὸ φθινόπωρον εἶναι· καὶ τὴν αἰτίαν ἐπείρηκεν, ἐγὼ δ᾽ οὐ μνημονεύω ... ὁ δὲ Λαμπρίας εἶπεν ὅτι τὸ οἰκεῖον καὶ τὸ σύμφυτον θερμὸν ἡμῶν, ᾧ τρέφεσθαι πεφύκαμεν, ἐν μὲν τῷ θέρει διέσπαρται καὶ γέγονεν ἀσθενέστερον καὶ μανόν, ἐν δὲ τῷ φθίνοντι καιρῷ συναγείρεται πάλιν καὶ ἰσχύει κατακρυπτόμενον ἐντὸς διὰ τὴν περίψυξιν καὶ τὴν πύκνωσιν τοῦ σώματος.*

22. (215)

Apollon. mir. 51: *Ἀριστοτέλης δὲ ἐν τοῖς φυσικοῖς προβλήμασιν [εἴρηκεν·] τὸν ἄνθρωπόν φησι βεβρωκότα καὶ πεπωκότα τὸν αὐτὸν σταθμὸν ἄγειν καὶ ὅτε νήστης ὑπῆρχεν. πειρᾶται δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἀποδιδόναι.*

23. (216)

Plutarch. de tuenda sanit. praec. 19: *ἐπεὶ δὲ Ἀριστοτέλης οἴεται τὸν μὲν περίπατον ἀναρριπίζειν τὸ θερμόν, τὸν δὲ ὕπνον ἂν εὐθὺς καθεύδωσι καταπνίγειν· ἕτεροι δὲ τὴν μὲν ἡσυχίαν οἴονται τὰς πέψεις βελτίονας ποιεῖν, τὴν δὲ κίνησιν ταράττειν τὰς ἀναδόσεις· καὶ τοῦτο τοὺς μὲν περιπατεῖν εὐθὺς ἀπὸ δείπνου τοὺς δὲ ἀτρεμεῖν πέπεικεν ...*

24. (217)

Apollon. mir. 9: *Ἀριστοτέλης δὲ ἐν τοῖς φυσικοῖς προβλήμασί φησιν· οἱ μονοσιτοῦντες πικρότερα τὰ ἤθη ἔχουσι μᾶλλον ἢ οἱ δὶς τροφαῖς χρώμενοι.*

25. (218)

Athen. XV p. 692^{b} (unde Eustath. Od. p. 1679): *ζητεῖ δ᾽ ὁ πολυμαθέστατος Ἀριστοτέλης ἐν τοῖς φυσικοῖς προβλήμασι «διὰ τί οἱ*

μυριζόμενοι πολιώτεροι; ἢ ὅτι τὸ μύρον διὰ τὰ ἀρώματα ξηραντικόν ἐστι, διὸ καὶ αὐχμηροὶ οἱ μυριζόμενοι, ὁ δὲ αὐχμὸς πολιωτέρους ποιεῖ; εἴτε γὰρ αὔανσις τριχὸς ἡ πολιά (id quod reiicitur ab Ar. h. a. 3, 11. 518, 11) *εἴτ' ἔνδεια θερμοῦ* (ita Arist. gen. an. 5, 4. 784, 31 cf. probl. ined. 2, 74. 77), *ἡ ξηρότης μαραίνει. διὸ καὶ τὰ πιλία θᾶττον ποιεῖ πολιούς· ἐκπίνεται γὰρ ἡ οἰκεία τῆς τριχὸς ὑγρότης»*.

Eodem testimonio utitur Clemens Alex. paed. 2, 70 p. 77 Sylb., scriptoris tamen nomine neglecto. ceterum de pilis multa problemata leguntur in Pseudar. probl. ined. (Buss.) 2, 55 sqq.

26. (219)

Epit. Athen. I p. 24^c: *ἔστι καὶ τρόπος ἕτερος* (sc. apud Homerum) *καμάτων λύσεως ἐκ τῶν κατὰ κεφαλῆς καταιονήσεων «θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων»* (Od. κ, 362). *αἱ γὰρ ἐμβάσεις περικεχυμένου πανταχόθεν τοῖς πόροις τοῦ ὕδατος φράττουσι τὴν τῶν ἱδρώτων ἔκκρισιν, καθάπερ ἂν εἴ τις ἠθμὸς εἰς ὕδωρ βληθῇ· διέξεισι γὰρ οὐθέν, εἰ μή τις αὐτὸν μετεωρίσας τοῖς πόροις ἀναψυχὴν καὶ διέξοδον εἰς τὸ ἔξω παράσχῃ, ὡς Ἀριστοτέλης εἴρηκεν ἐν τοῖς φυσικοῖς προβλήμασι ζητῶν, διὰ τί οἱ ἱδροῦντες ἐπὰν ἔλθωσιν εἰς θερμὸν ἢ ψυχρὸν ὕδωρ, οὐκ ἔτι ἱδροῦσιν, ἕως ἂν πάλιν ἐπανέλθωσιν ἀπὸ τῶν ἐμβάσεων.*

Tertius locus quo apud Athenaeum citatur *ὁ Ἀριστοτέλης ἐν τοῖς φυσικοῖς προβλήμασι* (X p. 434^f), refertur ad probl. 3, 4 (cf. 3, 11. 3, 33).

27. (220)

Apollon. mirab. 28: *Ἀριστοτέλης ἐν τοῖς ζωικοῖς* (fr. 310) *«ὁ ῥύπος, φησίν, ἐν τοῖς ὠταρίοις γιγνόμενος πικρὸς ὢν* (cf. Pseudar. probl. 32, 4), *ὅταν τελευτᾶν μέλλωσιν ἐν ταῖς μακραῖς νόσοις γλυκὺς γίνεται. τοῦτο δέ, φησίν, παρατετήρηται ἐπὶ πολλῶν γιγνόμενον. ἀποδέδωκε δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἐν τοῖς φυσικοῖς προβλήμασιν.*

28. (221)

Pseudalex. Aphr. probl. I, 99: *Διὰ τί τὰ στρογγύλα τῶν ἑλκῶν δυσίατα; ὅτι κατὰ παρουσίαν χολῆς δριμείας . . . οὕτω μὲν οἱ ἰατροί· οἱ δὲ φυσικοὶ καὶ οἱ φιλόσοφοί* (Aristoteles ex probl. ab auctore citatur eodemque modo medicis comparatur I, 141 = pr. ined. II, 147.) *φασι τῷ μὴ εἶναι ἀρχὴν ὅθεν ἡ οὐλὴ ἄρξηται· ἐν γὰρ κύκλῳ οὔτε ἀρχὴν οὔτε τέλος ἔστι λαβεῖν.* cf. Pseudarist. probl. Bamberg. 21: *Quare rotunda*

vulnera non facile cicatricantur? quia initium cicatricis non habent (idem probl. uberius a Cassio tractatur pr. 1).

His addo Apollon. mir. 42: *τῶν παρατετηρημένων ἐστὶ τὸ δυσκατούλωτα ἕλκη γίγνεσθαι ταῖς τε κυούσαις καὶ τοῖς σπληνικοῖς καὶ τοῖς κιρσοὺς ἔχουσι καὶ ταῖς γυναιξὶν ὅσαις ἰξίαι περὶ τοὺς μηροὺς ἔνεισιν.*

29. (222)

Apuleius de magia (t. II ed. Hildebrand) c. 51: *percontatus an esset mulieri illi* (*caducae* sc.) *caput grave, cervix torpens, tempora pulsata, aures sonorae. ceterum quod dexterae auris crebriores tinnitus fatebatur, signum erat morbi penitus adacti. nam dextera corporis validiora sunt* (cf. probl. 31, 12. 31, 13. Ar. h. a. 1, 15. 493ᵇ20 etc.) *eoque minus spei ad sanitatem relinquunt, quum et ipsa aegritudini succumbunt. Aristoteles adeo in problematis scriptum reliquit, quibus aeque caducis a dextero morbus occipiat, eorum esse difficiliorem medelam. longum est si velim Theophrasti quoque sententiam de eodem morbo recensere: est enim etiam eius egregius liber de caducis.*

30. (223)

Pseudo-Alexander (ex Aphrodisiensi expressus) in Arist. meteor. f. 131ᵃ (ap. Id. I p. 194): *λέγει δὲ* (sc. Arist. meteor. 4, 3 p. 381ᵇ9) *ἐν τῇ τῆς τροφῆς πέψει, ἥτις ἐν τῇ ἄνω κοιλίᾳ γίνεται, μηδὲ ζῶον γεννᾶσθαι, ὥς τινες ᾤοντο, ἀλλ' ἐν τοῖς περιττώμασι καὶ τῇ ἀποκρίσει καὶ τῇ κάτω κοιλίᾳ σηπομένῃ, ὡς ἐπὶ τῶν ἐκτὸς σηπομένων ὁρᾶταί τινα ζῶα, ὡς προείρηκεν ὅτε ἔλεγε περὶ σήψεως· γεννώμενα δὲ οὕτω τε καὶ ἐνταῦθα ἐπάνεισι πολλάκις ἐπὶ τὴν ἄνω κοιλίαν. ἐστὶ δὲ ταῦτα αἵ τε λεγόμεναι τερηδόνες καὶ οἱ ἕλμινθες. διὸ πολλάκις ἐν ταῖς νόσοις καὶ ἐμοῦνται. τὴν δ' αἰτίαν τοῦ κάτω μὲν γίνεσθαι αὐτά, ἐπανιέναι δὲ πολλάκις καὶ ἐπὶ τὴν ἄνω κοιλίαν, ἐν ἑτέροις εἰρῆσθαί φησιν* (381ᵇ13)· *ἐν γὰρ τοῖς προβλήμασι. κάτω μὲν γὰρ καὶ ἐν τῇ κάτω κοιλίᾳ, ὅτι ἐκ σήψεως γίνεται, ἐνταῦθα δὲ ἡ σῆψις. ἐπάνεισι δὲ ἐν ταῖς νόσοις καὶ ἐπὶ τὴν ἄνω κοιλίαν δι' ἃς ἐν ἐκείνοις αἰτίας λέγει.*

Revera igitur de hac re dixerat Pseudaristoteles in problemate quodam perdito, Aristoteles autem in loco illo, quem falso intelligit Alexander, ad librum *περὶ τροφῆς* respicit (cf. Rose de Arist. libris p. 176) aut nunquam perfectum aut ante Alexandrinos collectores bibliothecasque conditas deperditum.

31. (224)

Plutarch. qu. conv. VIII, 10, 1: *Διὰ τί τοῖς φθινοπωρινοῖς ἐνυπνίοις ἥκιστα πιστεύομεν; προβλήμασιν Ἀριστοτέλους φυσικοῖς ἐντυγχάνων Φλῶρος εἰς Θερμοπύλας κομισθεῖσιν αὐτός τε πολλῶν ἀποριῶν, ὅπερ εἰώθασι πάσχειν ἐπιεικῶς αἱ φιλόσοφοι φύσεις, ὑπεπίμπλατο καὶ τοῖς ἑταίροις μετεδίδου, μαρτυρῶν αὐτῷ τῷ Ἀριστοτέλει* (supra fr. 45) *λέγοντι τὴν πολυμάθειαν πολλὰς ἀρχὰς* (ita codd., *πολλὰς ἀποριῶν ἀρχάς* coni. Reiske, *πολλὰς ταραχάς* Wytt.) *ποιεῖν* (cf. metaph. 1, 2). *τὰ μὲν οὖν ἄλλα μεθ' ἡμέραν οὐκ ἄχαριν ἡμῖν ἐν τοῖς περιπάτοις διατριβὴν παρέσχε, τὸ δὲ λεγόμενον περὶ τῶν ἐνυπνίων, ὡς ἔστιν ἀβέβαια καὶ ψευδῆ* (cf. Ar. de ins. p. 463, 4) *μάλιστα περὶ τοὺς φυλλοχόους μῆνας, οὐκ οἶδ' ὅπως ἑτέρους λόγους πραγματευσαμένου τοῦ Φαβωρίνου μετὰ τὸ δεῖπνον ἀνέκυψε. τοῖς μὲν οὖν σοῖς ἑταίροις ἐμοῖς δὲ υἱοῖς ἐδόκει λελυκέναι τὴν ἀπορίαν Ἀριστοτέλης, καὶ οὐδὲν ᾤοντο δεῖν ζητεῖν οὐδὲ λέγειν ἀλλ' ἢ τοὺς καρπούς, ὥσπερ ἐκεῖνος, αἰτιᾶσθαι. νέοι γὰρ ὄντες ἔτι καὶ σφριγῶντες πολὺ πνεῦμα γεννῶσιν ἐν τῷ σώματι καὶ ταραχῶδες. οὐ γὰρ τὸν οἶνον εἰκός ἐστι μόνον ζεῖν καὶ ἀγανακτεῖν οὐδὲ τοὔλαιον ἂν ᾖ νεουργὸν ἐν τοῖς λύχνοις ψόφον ἐμποιεῖν ἀποκυματιζούσης τὸ πνεῦμα τῆς θερμότητος, ἀλλὰ καὶ τὰ σιτία τὰ πρόσφατα καὶ τὴν ὀπώραν ἅπασαν ὁρῶμεν ἐντεταμένην καὶ οἰδῶσαν, ἄχρι ἂν ἀποπνεύσῃ τὸ φυσῶδες καὶ ἄπεπτον. ὅτι δέ ἐστι τῶν βρωμάτων ἔνια δυσόνειρα καὶ ταρακτικὰ τῶν καθ' ὕπνον ὄψεων, μαρτυρίοις ἐχρῶντο τοῖς τε κυάμοις καὶ τῇ κεφαλῇ τοῦ πολύποδος, ὧν ἀπέχεσθαι κελεύουσι τοὺς δεομένους τῆς διὰ τῶν ὀνείρων μαντικῆς.*

32. (225)

Gellius 19, 6: *In problematis Aristotelis philosophi ita scriptum est: διὰ τί οἱ μὲν αἰσχυνόμενοι ἐρυθριῶσιν, οἱ δὲ φοβούμενοι ὠχριῶσιν, παραπλησίων τῶν παθῶν ὄντων* (cf. Ar. eth. Nic. 4, 15, ad quem locum spectat Eustath. Od. p. 1754. Il. p. 923); *ὅτι τῶν μὲν αἰσχυνομένων διαχεῖται τὸ αἷμα ἐκ τῆς καρδίας εἰς ἅπαντα τὰ μέρη τοῦ σώματος ὥστε ἐπιπολάζειν, τοῖς δὲ φοβηθεῖσι συντρέχει εἰς τὴν καρδίαν ὥστε ἐκλείπειν ἐκ τῶν ἄλλων μερῶν.*

Eiusdem argumenti problemata collecta sunt in l. 27 problematum *ὅσα περὶ φόβον καὶ ἀνδρείαν*, quae supra iam tetigit Gellius 19, 4 (ex probl. 27, 10 cf. 27, 1 et ex probl. 7, 3) ubi ita incipit: *Aristotelis libri sunt qui problemata physica inscribuntur* etc. ceterum cf. Cass. 49. Pseudar. pr. lat. Bamb. 20. Pseudalex. pr. I, 14. 15. 12. 19. 32 (Macrob. sat. 7, 11).

33. (226)

Gellius 1, 11: *morem autem illum ingrediendi ad tibicinum modulos proelii institutum esse a Lacedaemoniis Aristoteles in libris problematum scripsit, quo manifestior fieret exploratiorque militum securitas et alacritas. nam diffidentiae, inquit, et timori cum ingressione huiuscemodi minime convenit et moesti atque formidantes ab hac tam intrepida ac tam decora incedendi modulatione alieni sunt. verba pauca Aristotelis super ea re apposui: διὰ τί ἐπειδὰν πολεμεῖν μέλλωσι, πρὸς αὐλὸν ἐμβαίνουσιν; ἵνα τοὺς δειλοὺς ἀσχημονοῦντας γινώσκωσιν.*

XXXIX a.

Ἐγκύκλια προβλήματα.

1. (227)

Vid. Gell. 20, 4 = Ar. phys. probl. 30, 1 (cf. praef. ad fr. probl. phys.).

XL.

Περὶ τῆς τοῦ Νείλου ἀναβάσεως.

Hic libellus (ind. Hesych. et Ptolem. W. p. 145 et Hadschi Kh. V, 166: *Ar. de Nilo Aegypti libri tres*), qui licet diutina oblivione obrutus, etiam nunc extat medio aevo latine versus, problematis Peripatetici (*διὰ τί*) seorsim tractati speciem habet, auctoris autem esse videtur aut ipsius Theophrasti, quod verisimile est (eandem enim in suis meteorologicis rei causam explicaverat. cf. de ventis 5. item Pseudar. probl. 26, 7. 56. praeterea Theophr. apud Sen. nat. qu. 3, 26 et Plin. 2, 106), aut Theophrasteae aetatis socii et sub Ptolemaeo Lagi potius quam sub Philadelpho scribentis. eundem librum Aristotelis nomine inscriptum iam legerat Eratosthenes. cuius quae graece fragmenta extant (ex Posidonio, ut videtur, deprompta, qui eandem sententiam sequitur apud Strab. II, 98 et XVI, 790 et apud Cleomed. 1, 6, similiter atque Agatharchides Cnidius, quo usus est Diodorus 1, 41) hoc loco inserui, integrum opusculum in Anecdotis Aristotelicis infra editurus. famam quaestionis antiquitus celebratae ipse Aristoteles significat (in analyt. post. 2, 15. 98, 31. cf. Strabo p. 790: *καὶ νῦν ἔτι ζητεῖται*), ipsam autem scripto nusquam exposuit, quamquam novit imbres Aethiopicos (meteor. 1, 12. cf. Theophr. c. pl. 3, 3, 3) eandem-

que hanc incrementi causam statuisse videtur quam ex amnium Indicorum comparatione coniicientes proponebant rerum Alexandri Indicarum auctores Aristobulus et Nearchus (Strabo XVI p. 692. 696. cf. Arrian. Ind. 6). cf. Strabo XVI p. 789: *οἱ μὲν οὖν ἀρχαῖοι στοχασμῷ τὸ πλέον, οἱ δ' ὕστερον αὐτόπται γενηθέντες ᾔσθοντο ὑπὸ ὄμβρων θερινῶν πληρούμενον τὸν Νεῖλον τῆς Αἰθιοπίας τῆς ἄνω κλυζομένης.* et prioribus quidem istis accensendus est Democritus Abderita i. e. Pseudo-Democritus quidam vel Democriteus, quem Thrasyalcem Thasium fuisse aestimasse videtur Posidonius, ubi verae explicationis auctores recensuit Homerum, Thaletem, Thrasyalcem (de quo cf. Str. I, 29 ex Posid.), Aristotelem, Callisthenem (sec. Strab. p. 790). nam Io. Lydus de mens. IV, 68, qui Senecae dissertationem (quaest. nat. IV, 2) exscripsit olim integriorem, eandem Thrasyalcis opinionem affert (cum etesiarum mentione Thaletisque sententia quodammodo coniunctam, apud quosdam autem plane confusam, cf. Schol. Demosth. p. 35 Par. unde Suid. s. *ἐτησίαι* et Zon. p. 890, item Schol. Apoll. Rhod. 4, 269 p. 495 Keil), quam Democrito tribuunt Anon. Florentinus de Nilo, Pseudoplut. pl. ph. 4, 1 et ex Agatharchide Diod. 1, 39, qui praeter Senecam et schol. Apoll. de Nili incremento veterum sententias collectas exhibuerunt. autopsiam autem, quam sibi Ptolemaeorum aetas vindicat, testatus esse nescio quo Lydi errore parum accurata referentis dicitur Callisthenes, quem ita scripsisse in Hellenicis ut Alexandri iussu rem exploratam esse memoraret, prout apud Photium legimus ex anonymi vita Pythagorae, quanquam invitus fortasse concedas. itaque idem factum, quod Callisthenes († ol. 113, 3), post Callisthenem brevibus respexerit auctor Peripateticus de Nilo, quem volunt Aristotelem. plane enim verisimile est primo iam Ptolemaeo regnante rei causam observatam fuisse, quae sane sub Philadelpho (cf. Strabo p. 789. Diod. 1, 37. item Str. p. 769. Plin. 6, 33. 34) plenius confirmata in communem notitiam abierit. ceterum etiam in schol. Odyss. *δ*, 477 (unde Eustath. p. 1505) confusa extat de eadem re Aristotelis et Eudoxi mentio, quam ex Posidonio et ipsam pendere Homeri quod adhibetur testimonium significat. ipsum autem initium disputationis simillimum est Pseudaristotelis et Diodori (i. e. Agatharchidis ap. Diod. 1, 36 p. 48, 28 Bk.). hoc denique animadvertendum videtur, si quis similium quorundam nominum confusione Aristotelis nomen inscriptum crediderit (cum Patricio Disc. Peripat. p. 26), plane diversum ab hoc de Nilo sive libello sive problemate singulari fuisse *τὸ περὶ τοῦ Νείλου βιβλίον*, quod sub gemina auctoritate et Aristonis Peripatetici (de quo cogitabat Patricius) et (Academici) Eudori Strabo legerat (p. 790), nihil porro huc facere Aristonis nomen *τοῦ πεμφθέντος ὑπὸ*

Πτολεμαίου (sc. a Philadelpho) *πρὸς κατασκοπὴν τῆς ἕως ὠκεανοῦ παρηκούσης Ἀραβίας* (sec. Agath. ap. Diod. 3, 42).

Subiicio de Callisthene Strabonis et Io. Lydi testimonia. Strabo XVI p. 790: *φησὶ γὰρ (Ποσειδώνιος) Καλλισθένη λέγειν τὴν ἐκ τῶν ὄμβρων αἰτίαν τῶν θερινῶν παρὰ Ἀριστοτέλους λαβόντα, ἐκεῖνον δὲ* (ex Posidonii coniectura) *παρὰ Θρασυάλκου τοῦ Θασίου· τῶν ἀρχαίων δὲ φυσικῶν εἷς οὗτος· ἐκεῖνον δὲ παρὰ Θαλοῦ* (ita C. Müller ed. Paris. p. 672, 14. vulgo *παρ' ἄλλου*), *τὸν δὲ παρ' Ὁμήρου διιπετέα φάσκοντος τὸν Νεῖλον.*

Io. Lydus de mensibus IV, 68: *ἀλλὰ καὶ Θρασυάλκης ὁ Θάσιος τοὺς ἐτησίους φησὶν ἐξωθεῖν τὸν Νεῖλον· τῆς γὰρ Αἰθιοπίας ὑψηλοῖς παρὰ τὰ καθ' ἡμᾶς ὄρεσι διεζωσμένης ὑποδεχομένης τε τὰς νεφέλας πρὸς τῶν ἐτησίων ὠθουμένας, ἐκδιδόναι τὸν Νεῖλον, ὡς καὶ Καλλισθένης ὁ περιπατητικὸς ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν Ἑλληνικῶν φησίν, ἑαυτὸν συστρατεύσασθαι Ἀλεξάνδρῳ τῷ Μακεδόνι καὶ γενόμενον* (!) *ἐπὶ τῆς Αἰθιοπίας εὑρεῖν τὸν Νεῖλον ἐξ ἀπείρων ὄμβρων κατ' ἐκείνην γενομένων καταφερόμενον* (i. e. quum in Aegypto Alexander militaret, fando se accepisse de imbribus Aethiopicis Nili incrementi causa?).

1. (228)

Ioannes gramm. ad Arist. de gen. et corr. (1, 5 p. 321, 9) f. 22ª Ven.: *πέφυκε δὲ πυκνοῦσθαι* (sc. *ὁ ἀήρ*) *καὶ εἰς ἑαυτὸν συνιζάνειν οὐ μόνον ψυχόμενος* (sicut voluit Aristoteles, cf. meteor. 1, 9. 346 ᵇ29 et de Nilo ib. 1, 12. 349, 5) *ἀλλὰ καὶ ὠθούμενος καὶ πιλούμενος. οὕτω γοῦν ἀποδέδειχεν ὁ Ἀριστοτέλης ἐν θέρει ἐν τῇ Αἰθιοπίᾳ τοὺς ὑετοὺς γινομένους· ὠθουμένης γὰρ τῆς ἐκ τῶν βορείων ἀτμίδος ὑπὸ τῶν ἐτησίων πνευμάτων καὶ τοῖς Ἀραβικοῖς προσπιπτούσης ὄρεσι μεγίστοις οὖσι καὶ συνθλιβομένης ἀεὶ ὑπὸ τῆς ἐπιγινομένης, τῇ πιλήσει πυκνοῦσθαι καὶ εἰς ὕδωρ μεταβάλλειν. [ἔστι γοῦν τὸν τῶν ἐτησίων χρόνον ἐν τῇ Αἰθιοπίᾳ κατὰ συνέχειαν ὁρᾶν κρουνηδὸν τοὺς ὑετοὺς καταφερομένους ψύξεως ἁπάσης χωρίς· τὸ αὐτὸ δὲ καὶ ἐν τοῖς βαλανείοις γίνεται· ἡ γὰρ ἀνιοῦσα ἀτμὶς καὶ τῇ ὀροφῇ πλησιάζουσα διέξοδον οὐκ ἔχουσα συμπιλεῖται εἰς ἑαυτὴν καὶ πυκνουμένη γίνεται ὕδωρ καὶ τῇ συμφύτῳ βαρύτητι καταρρεῖ.*

Cf. Olympiod. in meteor. (prax. 12 ad Ar. meteor. 1, 9) f. 18ª inf. (I, 122 Ideler): *ἰστέον ὅτι ὁ μὲν Ἀριστοτέλης αἴτιον λέγει τῆς εἰς ὕδωρ μεταβολῆς τὴν ψῦξιν μόνον, Θεόφραστος δὲ οὐ μόνον τὴν ψῦξιν λέγει αἰτίαν τῆς τοῦ ὕδατος γενέσεως ἀλλὰ καὶ τὴν πίλησιν. ἰδοὺ γὰρ ἐν Αἰθιοπίᾳ μὴ οὔσης ψύξεως ὅμως ὑετὸς κατάγεται διὰ τὴν πίλησιν.*

φησὶ γὰρ ὄρη εἶναι ἐκεῖσε ὑψηλότατα, εἰς ἃ τὰ νέφη προσπταίουσι καὶ εἶθ' οὕτως ὑετὸς καταρρήγνυται διὰ τὴν γινομένην πίλησιν. ἀλλὰ μὴν καὶ ἐπὶ τῶν λεβήτων ὑγρότης, φησίν, ἀντικαταρρεῖ, ἔτι δὲ καὶ ἐπὶ τῶν θόλων τῶν λουτρῶν μὴ παρούσης ψύξεως, διὰ τὴν πίλησιν δηλονότι τούτου γινομένου (cf. Olymp. f. 21ª, 34ᵇ). quam deinde ineptam Theophrasti distinctionem merito redarguit commentator Aristotelem defendens.

2. (229)

Photius bibl. cod. 249 (ἀνεγνώσθη Πυθαγόρου βίος) p. 441ᵇ 1: *φέρονται γοῦν (οἱ ἐτησίαι ἄνεμοι) ἐπὶ τοὺς ἐναντίους τόπους· ἐκεῖ δὴ ταῦτα ἐκφερόμενα προσπίπτει τοῖς ὑψηλοτάτοις ὄρεσι τῆς Αἰθιοπίας καὶ πολλὰ καὶ ἀθρόα γινόμενα ἀπεργάζεται ὑετούς· καὶ ἐκ τῶν ὑετῶν τούτων ὁ Νεῖλος πλημμυρεῖ τοῦ θέρους, ἀπὸ τῶν μεσημβρινῶν καὶ ξηρῶν τόπων ῥέων. καὶ τοῦτο Ἀριστοτέλης ἐπραγματεύσατο· αὐτὸς γὰρ ἀπὸ τῆς φύσεως ἔργῳ κατενόησεν, ἀξιώσας πέμψαι τὸν Ἀλέξανδρον τὸν Μακεδόνα* (i. e. regem, quem ex coniectura scriptor ponit Alexandrum: nisi forte idem factum is spectat quod Lydo teste Callisthenes) *εἰς ἐκείνους τοὺς τόπους καὶ ὄψει τὴν αἰτίαν τῆς τοῦ Νείλου αὐξήσεως παραλαβεῖν. «διό φησιν ὡς τοῦτο οὐκέτι πρόβλημά ἐστιν· ὤφθη γὰρ φανερῶς ὅτι ἐξ ὑετῶν αὔξει»* (vers. lat. vet. *propter quod iam non problema videtur esse. in sensum enim venit quemadmodum per se videntes facti a visis.* cf. Plin. 5, 10: *observatum est*).

Cf. Proclus in Tim. p. 37ᵈ (similia in Schol. Plat. Tim. p. 425 Bk.): *καὶ γὰρ τοῦτο ἓν εἶναι αἴτιον ὄμβρων φησὶν ὁ Θεόφραστος τὴν τῶν νεφῶν πίλησιν πρός τινα τῶν ὀρῶν ... (καὶ γὰρ φέρεται πρῶτον ὁ Νεῖλος) ἐκ τῶν Σεληναίων ὀρῶν, ἃ διὰ τὸ ὕψος οὕτω ἐκάλεσαν καὶ τῶν πρὸς ἐκείνοις ἀθροιζομένων νεφῶν ... Ἐρατοσθένης δὲ οὐκέτι φησὶν οὐδὲ ζητεῖν χρῆναι αἰτίαν τῆς αὐξήσεως τοῦ Νείλου, σαφῶς καὶ ἀφικομένων τινῶν εἰς τὰς τοῦ Νείλου πηγὰς καὶ τοὺς ὄμβρους τοὺς γινομένους ἑωρακότων, ὥστε κρατύνεσθαι τὴν Ἀριστοτέλους ἀπόδοσιν.*

XLI.

(Περὶ τῆς λίθου.)

1. (230)

Ἡ λίθος breviter appellatur *ἡ Ἡρακλεία* (lapis Herculis), *ἡ μαγνῆτις λίθος* (cf. Th. H. Martin, De l'aimant, de ses noms divers etc. in Mém

prés. à l'ac. des inscr. t. 6. 1860 p. 391—411). ex ipso igitur libri titulo (cf. Democriti *περὶ τῆς λίθου* D. L. 9, 47) manifestum est nihil aliud significari ac celeberrimum illud inter veteres philosophos de vi magnetis argumentum (*ἡ ἔνδοξος αὕτη καὶ πολυθρύλλητος λίθος ἡ τὸν σίδηρον ἐπισπωμένη* vocatur a Galeno qui in primo *περὶ δυνάμεων φυσικῶν* huius problematis exemplo utitur, v. opp. t. IV p. 44—51. cf. 106. 206. XI. 612. Themistius analyt. post. f. 13[b] vel p. 249, 4 Br.), ita ut idem sint tituli libelli Aristotelici et quaestionis quae inter Alexandri Aphrodisiensis physicorum et ethicorum scholiorum quaestiones legitur (l. II, 23 p. 136—41 ed. Spengel. Mon. 1842) *περὶ τῆς Ἡρακλείας λίθου διὰ τί ἕλκει τὸν σίδηρον.* cuius quidem disputatio quum plane similiter procedat similique argumentandi specie utatur (cf. imprimis p. 139, 4 etc.) atque altera illa non minus famosa libri Aristotelici adhuc servati de Nilo. Aristotelicam illam quasi quadam imagine exprimere videtur eiusque apud nos vices gerere valet. nam sicut auctor de Nilo, ita Alexander primum quidem priorum ante Aristotelem philosophorum opiniones recitat Empedoclis (quem sequitur Plutarchus quaest. Platon. 7, 7), Democriti (cum quo convenit Epicurus apud Gal. II, 45), Diogenis Apolloniatae et ex ipsis eorum argumentis, nimis fere quae proposita erat rei soli intentis nec similia multa quare aut omnino non accidant in rerum natura, aut si quae accidant non eodem modo accidant, satis declarantibus, materiam refutandi sumit, deinde suam ipsius explicationem ex Peripatetica doctrina repetitam breviter in fine exhibet talem (p. 140, 24): *οὕτω καὶ ὁ σίδηρος ἐπὶ τὴν λίθον φέρεται οὐχ ἕλκουσαν αὐτὸν βίᾳ πρὸς ἑαυτήν, ἀλλ' ἐφέσει τούτου οὗ ἐνδεὴς μέν ἐστιν αὐτός, ἔχει δ' αὐτὸ ἡ λίθος· δοκεῖ γὰρ καὶ ἡ λίθος σιδηρῖτις εἶναι, ἐξικμασμένη* (*ἐξ ἰκμασμένης* ed. Ven. 1536, Speng. *ἐξικμασμένης* etiam cod. antiquiss. Marc. 258 fol. 286[a], item recentes Marc. 261 et app. gr. 4, 10) *μέντοι ἤδη ἤτοι ὑπὸ χρόνου ἢ ὑπό τινος ἄλλης αἰτίας. οὐ μόνον γὰρ τὰ αἴσθησιν ἔχοντα καὶ τὰ ἔμψυχα ἐφίεται τοῦ κατὰ φύσιν ἑαυτοῖς, ἀλλ' οὕτω πολλὰ καὶ τῶν ἀψύχων ἔχει.* quae ad modum auctoris libri pseudaristotelici de causa motus animalium excogitata sunt.

XLII.

Περὶ σημείων.

Aristoteli in indice Laertii (*σημεῖα χειμώνων α'.* cf. Hesych. *σημασίας χειμώνων*, Walter c. 53 *de signis hiemis unum*) tribuitur liber inter

Theophrasti opera inde ab ed. Basil. 1541 vulgo editus *περὶ σημείων ὑδάτων καὶ πνευμάτων* (*καὶ χειμώνων καὶ εὐδιῶν*) qui dicitur *ἀνωνύμου* in indice praemisso t. II editionis principis Aldinae 1497 (cf. Hieron. Gemusaeus in praef. ed. Bas. ubi libellos Theophrasteos recenset ibi collectos: *Sequuntur ... de ventis, libri singuli. Item de aquarum et ventorum signis liber unus, quem priores incerti autoris inscripserunt. Ab his deinde habentur* etc. nomen tamen Theophrasti non inscribitur ipsi libri initio f. 239, sed simpliciter *Περὶ σημείων ὑδάτων καὶ πνευμάτων*, ut in ed. Ald.). idem nomen inscriptum erat codici quem medio aevo secutus est interpres Latinus Bartholomaeus de Messana (cf. *Ar. de signis aquarum ventorum et tempestatum* ed. Bonon. 1501 in Opere septisegmentato Alexandri Achillini, cuius lectiones dedit Schneider ed. t. V p. 163. in cod. S. Antonii Patavino 370, in quo cum problematis, mirabilibus, physiognom. aliisque latine versis iste etiam liber habetur, hunc titulum reperi: *Incipit liber aristotelis de signis translatus de greco in latinum a Mag. bartholomeo de messana in curia illustrissimi maynfredi, serenissimi regis Sicilie scientie amatoris de mandato suo*) eundemque auctorem aut appellant aut significant codices Graeci qui nunc servantur omnes (cf. Io. Lyd. de ostentis p. 274 Bk. *τὰ γὰρ Ἀριστοτέλει — περὶ σημείων* scil. — *εἰρημένα γνωριμώτατα*). in quibus quidem cum l. *περὶ σημείων ὑδάτων καὶ πνευμάτων* coniungi solet fragmentum inscriptum *ἀνέμων θέσεις καὶ προσηγορίαι: ἐκ τῶν Ἀριστοτέλους περὶ σημείων*, velut in antiquissimo eorum qui extant cod. Marc. app. 4, 58 bomb. sec. XIV, quo (K^a) I. Bekker usus est in Ar. ed. p. 973, post Ar. mirab. physiogn. et l. de signis illud apponente et ante Alexandri Aphrodisiensis quae dicuntur problemata. atque post physiogn. et l. de signis et ante Alex. probl. idem habetur in cod. Par. 1893 ch. sec. XVI (cum eisdem etiam, licet mutato ordine, in Par. 2048. cf. Laur. 57, 33 ubi cum physiogn. et l. de signis, et Marc. 200. 215. 216). qui omnes codices recentes sunt et ex eodem fundo repetendi unius librarii, qui primus fragmentum libri nunc deperditi excerpserit librisque illis adiecerit. quis autem fragmenti auctor fuerit, quis Aristoteles iste cui tribuitur, facile suspiceris, si nominum quae ventis localibus indita fuerint colligendorum rationem cum fragmento illo mutilo comparaveris, quo nunc liber Theophrasti *περὶ ἀνέμων* clauditur (Theophr. ed. Schneider IV, 719. V, 163), citato ab Alexandro in meteor. I p. 308. 309 Id. (de Olympia Euboeae vento consentit Theophr. h. pl. 4, 14, 11. c. pl. 5, 12, 4). non equidem dubito quin ad Theophrasti librum *περὶ σημείων* (Diog. L. 5, 45) pertinuerit, eundem scil. de quo mentionem fecit Proclus in Tim. p. 286 Bas. qui quum plura

quae ignoramus e Theophrasti libro referat, unum in mediis istis locum habet, quem in Aristotelis qui fertur π. σημ. ὑδ. καὶ πν. libro repetitum etiam nunc legimus. nimirum totum hunc librum cuivis vel obiter percurrenti patet non tam iustum librum esse quam iusti libri particulas excerptas (cf. Schneider Th. IV, 719), immo discerptas et nullo fere ordine nexuque denuo compositas, ita quidem ut vel bis eadem in diversis locis ponerentur (cf. e. c. de luna c. 2, 2 = c. 3, 1 cum Arato 788—95 Bekk., et signa quae sunt κοινά, quales ὕδατος καὶ πνεύματος sunt οἱ διάττοντες c. 1, 13 = 2, 12 = Arat. 926—32, et alia quam plurima, maxime in c. 1, praecipue autem c. 3, 7 et 3, 11 ubi eisdem generaliter observatis de tempestatum antapodosi — cf. Plin. n. h. 18 s. 80. sunt autem σημεῖα ὅλων τε τῶν ἐνιαυτῶν καὶ τῶν μορίων ut c. 4, 6—7, hiemis praesagiis male immixta — eadem ratione continuantur hiemis signa ex ilicis fecunditate), quum in quatuor ordines signa secundum effectum (cf. c. 1, 9) Arateo exemplo (multis tamen veri nexus vestigiis relictis cf. c. 4, 3—5 et τὰ κοινά in c. 1) distraherentur (cf. σήματα ἀνέμου Arat. 909—32, ὕδατος 933—987, εὐδίας 988—1012, χειμῶνος 1013—1141, exceptis v. 1051—63 qui alio excurrunt sicut Pseudar. c. 4, 6 de lentisco agentes, qui sationum tempora significet, itemque exceptis v. 1094—1103), antiquo id quidem tempore et Alexandrino perinde atque eo quo characterum Theophrasteorum libellus compositus est et ex Theophrasto congesta sunt mirabilia Aristotelis, hoc est multo ante Andronicum, brevi ante Hermippum tempore vel nullo. Arati enim sub Antigono Gonata in Macedonia degentis διοσημεῖα vel praesagia meteorologica a coelestibus rebus capta et animalibus tantum abest ut ex libro de signis qui nunc fertur expressa sint, ut quum in ipsis saepe verbis mirum in modum conspirent (cf. e. c. Arat. 960—62 cum Pseudar. c. 1, 17. Arat. 970—71 cum c. 1, 18. Arat. 909—12 cum c. 2, 4. Ar. 920 cum c. 2, 9 et multa alia) nec poeta putandus sit scriptoris verba servasse (non magis quam Eudoxi in phaenomenis, cuius tamen librum versibus expressit secundum Hipparchum in l. de Arati et Eudoxi phaenomenis), multa autem afferantur in Arateis quae non apud Theophrastum etiam reperiantur sicut sane pleraque, tantum igitur abest, ut potius Arateum ordinem verbaque Aratea imitatus esse Pseudaristoteles iste videatur. idem tamen, quum plura saepe praebeat quam Aratus, et ea quidem quae intimo nexu cohaereant cum rebus utrique communibus, ad communem fontem reversus esse intelligitur, quo uterque nitatur, Theophrastum dico libri περὶ σημείων auctorem, qui δημόσια (c. 1, 23. 3, 12 et quidem Atticae et Macedoniae cf. c. 1 et c. 4, 2: Ὄλυμπος καὶ Ἄθως ... τὰ ὄρη τὰ σημαντικά) tempestatum prae-

sagia, ad quae iam Aristoteles animum advertisset (cf. Ar. meteor. 3. 3. 1. 7. h. a. 6, 21. 575[b] 17. 9, 6. 612[b] 4 ubi cf. Pseudar. c. 2, 5 etc. similia passim in probl. phys., velut 1, 22) colligeret et separatim exponeret non solum ex sole et luna stellisque et meteoris sed etiam ex animalibus (c. 1, 5), praesagientium quidem genera recensens, ut Plinius (18, s. 78 sqq. et in carminis principio etiam Aratus 778—818 de luna, 819—91 de sole, 880—89 *παρήλια* et 892—908 *φάτνη*), non praesagiorum vel tempestatum, ut Pseudaristoteles. Theophrasteum enim librum spectasse videtur qui ex Aristotele avium signa proponit Aelianus n. a. 7, 7, quorum plurima, at non omnia, apud Pseudaristotelem passim leguntur. en igitur librum Aristoteli tributum, qui excerptus est e libro qui Theophrasto inde ab eodem aevo Alexandrino tribuitur! en auctoritatem catalogorum veterum, quorum auctores etiamsi veram rei rationem non ignorent, non critici partes agunt sed bibliothecarii in tabulas redigentis auctorum titulos codicibus inscriptos. ceterum num geminus fuerit Theophrasti liber, nunc dici nequit. attamen quum et ipsum dupliciter et Aristotelis et Theophrasti nomine inscriptum fuisse Geminus, Aelianus et scholii Aratei auctor praeter fragmenti servati titulum testari videantur, est quod dubites. quorum Gemini primum verba placet excerpere, utpote quae et in Arati *σημεῖα* et Aristotelis et in omne hoc argumentum faciant.

1. (231)

Geminus isag. in phaenom. (in cap. *περὶ ἐπισημασιῶν τῶν ἄστρων*) p. 231 sq. (ed. Edo Hildericus Altorphii 1590 cf. ed. Petavii in Uranolog. p. 61): *ὥστε εἶναι φανερὸν ἐκ πάντων, ὅτι οὐδ' οὗτος ὁ ἀστὴρ* (sc. *ὁ κύων*) *οὔτ' ἄλλος οὐδεὶς τηλικαύτην τινὰ δύναμιν ἔχει ὥστε μεταβολὰς περὶ τὸν ἀέρα κατασκευάζειν, ἀλλ' ἔστι τὸ ἡγεμονικὸν αἴτιον περὶ τὸν ἥλιον. αἱ δὲ τούτων ἐπιτολαὶ καὶ δύσεις ἐπὶ τὴν ἐπίγνωσιν τῶν περὶ τὸν ἀέρα μεταβολῶν παράκεινται· δι' ἣν αἰτίαν οὐδὲ διὰ παντὸς συμφωνοῦσιν. ὅθεν βελτίοσιν ἄν τις σημείοις χρήσαιτο τοῖς ὑπὸ τῆς φύσεως ἡμῖν διδομένοις, οἷς καὶ Ἄρατος κέχρηται. τὰς μὲν γὰρ ἐκ τῶν ἐπιτολῶν καὶ δύσεων τῶν ἄστρων γινομένας μεταβολὰς τοῦ ἀέρος ᾠήθη εἶναι διεψευσμένας, τὰς δὲ φυσικῶς γινομένας καὶ μετά τινος αἰτίας κατεχώρισεν ἐν τῇ τῶν φαινομένων πραγματείᾳ ἐπὶ πέρατι* (*ἐπὶ πᾶσι* male edd.) *τῆς ὅλης συντάξεως. λαμβάνει γὰρ τὰς προγνώσεις ἀπὸ τῆς τοῦ ἡλίου ἀνατολῆς καὶ δύσεως καὶ ἀπὸ τῶν τῆς σελήνης ἀνατολῶν καὶ δύσεων καὶ ἀπὸ τῆς ἅλω τῆς γινομένης περὶ τὴν σελήνην καὶ ἀπὸ τῶν διαισσόντων ἀστέρων καὶ ἀπὸ τῶν ἀλόγων ζώων· αἱ γὰρ ἀπὸ τούτων προγνώσεις μετά τινος φυσικῆς αἰτίας γινόμεναι κατηναγκασμένα*

ἔχουσι τὰ ἀποτελέσματα. ὅθεν καὶ Βοηθὸς ὁ φιλόσοφος ἐν τῷ τετάρτῳ βιβλίῳ τῆς Ἀράτου ἐξηγήσεως φυσικὰς τὰς αἰτίας ἀποδέδωκε τῶν τε πνευμάτων καὶ ὄμβρων, ἐκ τῶν προειρημένων εἰδῶν τὰς προγνώσεις ἀποφαινόμενος. τούτοις δὲ τοῖς σημείοις καὶ Ἀριστοτέλης ὁ φιλόσοφος κέχρηται καὶ Εὔδοξος καὶ ἕτεροι πλείονες τῶν ἀστρολόγων.

2. (232)

Ἀνέμων θέσεις καὶ προσηγορίαι: ἐκ τῶν Ἀριστοτέλους περὶ σημείων (vid. Arist. opp. ed. Casaub. Lugd. 1590 t. I p. 755. ed. Bekker p. 973, qui usus est cod. Marc. app. IV, 58 (K[a]). hunc ego mense Sept. 1860 Venetiis iterum commoratus et ipse inspexi cum codd. rec. Marc. 200. 215. 216, qui in eisdem vitiis consentiunt).

1. 2. *Βορρᾶς. οὗτος ἐν μὲν Μαλλῷ Παγρεύς· πνεῖ γὰρ ἀπὸ κρημνῶν μεγάλων καὶ ὀρῶν διπλῶν παρ' ἄλληλα κειμένων ἃ καλεῖται Παγρικά. ἐν δὲ Καύνῳ μέσης. ἐν δὲ Ῥόδῳ Καυνίας· πνεῖ γὰρ ἀπὸ Καύνου ἐνοχλῶν τὸν λιμένα αὐτῶν τὸν ἀκανίαν* (ita codd., corr. *αὐτῶν τῶν Καυνίων*). *ἐν δὲ Ὀλβίᾳ τῇ κατὰ Μάγυδον* (*Μύγαλον* codd., cf. C. Müller ad Scylac. per. c. 100 in Geogr. Gr. min. t. I p. 75) *τῆς Παμφυλίας Ἰδυρεύς* (codd. *Γαυρεύς*. corr. Meineke ad Steph. Byz. s. *Ἴδυρος*. cf. Theophr. de ventis 53)· *πνεῖ γὰρ ἀπὸ νήσου ἣ καλεῖται Ἰδυρίς* (codd. *Γαυρίζ*). *τινὲς δὲ αὐτὸν βορρᾶν οἴονται εἶναι* (et non *μέσην* sc.). *ἐν οἷς καὶ Λυρνατιεῖς* (*λυρναντεῖς* codd. cf. Steph. Byz. s. v.) *οἱ κατὰ Φασηλίδα.*

3. *Καικίας. οὗτος ἐν μὲν Λέσβῳ καλεῖται Θηβάνας* (cf. Hes. s. *Θήβανις, Θήβανα*. Mein. ad St. B. s. *Ἄδανα*)· *πνεῖ γὰρ ἀπὸ Θήβης πεδίου τοῦ ὑπὲρ τὸν Ἐλαιτικὸν* (ita K[a] Q, vulgo *Ἐλαιατικόν*) *κόλπον τῆς Μυσίας, ἐνοχλεῖ δὲ τὸν Μιτυληναίων λιμένα, μάλιστα δὲ τὸν Μαλόεντα. παρὰ δέ τισι Καυνίας* (vulg. *παρὰ δὲ αἰκαυνίας, π. δ. τοῖς καυνίας* — non *καυνίαις* quod affert Bekker — K[a], *π. δ. τῆς καυνίας* Q), *ὃν ἄλλοι βορρᾶν* (*βορέαν* K[a] Q) *οἴονται εἶναι.*

4. *Ἀπηλιώτης. οὗτος ἐν μὲν Τριπόλει τῆς Φοινίκης ποταμεὺς καλεῖται, πνεῖ δὲ ἐκ πεδίου ὁμοίου ἅλωνι μεγάλῃ, περιεχομένου ὑπό τε τοῦ Λιβάνου καὶ τοῦ Βαπύρου* (i. e. *Ἀντιλιβάνου* cf. Str. XVI p. 754 extr.) *ὄρους· παρὸ καὶ ποταμεὺς καλεῖται. ἐνοχλεῖ δὲ τὸ Ποσειδώνειον* (*-δόνιον* codd. *Ποσείδιον* Steph. Str. etc.). *ἐν δὲ τῷ Ἰσσικῷ κόλπῳ καὶ περὶ Ῥωσὸν Συριάνδος* (ita codd.. fort. *Μυριανδεύς*. cf. *Μυρίανδος πόλις* Str. XIV p. 676)· *πνεῖ δὲ ἀπὸ τῶν Συρίων πυλῶν, ἃς διέστηκεν ὅ τε Ταῦρος καὶ Ταυρόσια* (corr. *τὰ*

Ρώσια) *ὄρη. ἐν δὲ τῷ Τριπολιτικῷ κόλπῳ Μαρσεὺς* (*ὁ μαρσευς* K[a] Q) *ἀπὸ Μάρσου κώμης. ἐν δὲ Προκοννήσῳ καὶ ἐν Τέῳ καὶ ἐν Κρήτῃ καὶ Εὐβοίᾳ καὶ Κυρήνῃ Ἑλλησποντίας* (*ἑλισποντίας* K[a], *ἑλισποντίας* Q). *μάλιστα δὲ ἐνοχλεῖ τόν τε τῆς Εὐβοίας Καφηρέα* (*καιφαρέα* K[a], *καὶ φηρέα* Q) *καὶ τὸν Κυρηναίων* (ita codd., *Κυρηναῖον* vulgo) *λιμένα, καλούμενον δὲ Ἀπολλωνίαν· πνεῖ δὲ ἀφ' Ἑλλησπόντου* (*ἑλησπόντου* K[a], *ἑλισπόντου* Q). *ἐν δὲ Σινώπῃ Βερεκυντίας* (*-κυπτίας* K[a] Q) *ἀπὸ τῶν κατὰ Φρυγίαν τόπων πνέων. ἐν δὲ Σικελίᾳ καταπορθμίας πνέων ἀπὸ τοῦ πορθμοῦ. τινὲς δὲ αὐτὸν καικίαν οἴονται εἶναι Θηβάναν* (*θηβάνω* Q) *προσαγορεύοντες.*

5. *Εὖρος. οὗτος ἐν μὲν Αἰγαῖς ταῖς κατὰ Συρίαν σκοπελεὺς καλεῖται ἀπὸ τοῦ Ῥωσίου σκοπέλου, ἐν δὲ Κυρήνῃ Κάρβας ἀπὸ τῶν Καρβανῶν* (cf. Steph. s. *Καρβανίς*) *τῶν κατὰ Φοινίκην* (*φοινίκων* K[a] Q)· *διὸ καὶ τὸν αὐτὸν Φοινικίαν* (cf. Arist. p. 364, 3. 17) *καλοῦσί τινες. εἰσὶ δὲ οἳ καὶ ἀπηλιώτην* (cf. Arist. p. 364^{b}19) *νομίζουσιν εἶναι* (cf. Theophr. de ventis 62).

6. *Ὀρθόνοτος* (scr. *Ὀρθρόνοτος*). *τοῦτον οἱ μὲν εὖρον, οἱ δὲ ἀμνέα προσαγορεύουσιν.*

7. *Νότος δὲ ὁμοίως παρὰ πᾶσι καλεῖται· τὸ δὲ ὄνομα διὰ τὸ νοσώδη εἶναι, ἔξω δὲ κάτομβρον, κατ' ἀμφότερα δὲ νότον.*

8. *Λευκόνοτος ὁμοίως* (*ὁμ.* om. Casaub.)· *τὸ δὲ ὄνομα ἀπὸ τοῦ συμβαίνοντος· λευκαίνεται γάρ* (*albus notus* Veget.)...

9. *Λίψ. καὶ οὗτος τὸ ὄνομα ἀπὸ Λιβύης, ὅθεν πνεῖ.*


10. *Ζέφυρος. καὶ οὗτος τόδε τὸ ὄνομα διὰ τὸ ἀφ' ἑσπέρας πνεῖν, ἡ δὲ ἑσπέρα* (lacunam hic, ut supra post *λευκ. γάρ*, auctore Casaubono significant editores, non codices)...

11. *Ἰάπυξ. οὗτος ἐν Τάραντι Σκυλλητῖνος* (codd. *σκυλητῖνος*) *ἀπὸ χωρίου Σκυλλητίου* (codd. *σκυλαντίμου*). *κατα δε οραλεοντο Φρυγίας* (ita sine acc. K[a], *καταδεοραλεοντοφρυγίας* Marc. 215. 216. *καταδεορωλεοντοφρυγίας* Q). *ὑπὸ δέ τινων φαραγγίτης· πνεῖ γὰρ ἔκ τινος φάραγγος τῶν κατὰ τὸ Παγγαῖον* (ita K[a] Q, vulgo *Πηγαῖον*). *παρὰ πολλοῖς δὲ ἀργέστης.*

12. *Θρακίας κατὰ μὲν Θρᾴκην Στρυμονίας· πνεῖ γὰρ ἀπὸ τοῦ Στρυμόνος ποταμοῦ* (cf. Steph. s. v.)· *κατὰ δὲ τὴν Μεγαρικὴν Σκίρρων ἀπὸ τῶν Σκιρρωνίδων πετρῶν* (cf. Strabo IX p. 391), *ἐν δὲ Ἰταλίᾳ καὶ Σικελίᾳ Κιρκίας* (*Κίρκας* vulgo. cf. Th. l. c. Pseudar. de mundo p. 394^{b}31, ubi male nunc *καικίας*) *διὰ τὸ πνεῖν ἀπὸ τοῦ Κιρκαίου. ἐν δὲ Εὐβοίᾳ καὶ Λέσβῳ Ὀλυμπίας* (*ὀλαμπίας* K[a], *ὁ*

λαμπίας Q), *τὸ δὲ ὄνομα ἀπὸ τοῦ Πιερικοῦ Ὀλύμπου* (cf. Hesych. s. v.)· *ὀχλεῖ δὲ Πυρραίους* (cf. Ar. p. 363^b 24. Th. l. c.).

[*ὑπογέγραφα δέ σοι καὶ τὰς θέσεις αὐτῶν ὡς κεῖνται καὶ πνέουσιν, ὑπογράψας τὸν τῆς γῆς κύκλον, ἵνα καὶ πρὸ ὀφθαλμῶν σοι τεθῶσιν.*



Undecim ventos hic habet Pseudaristoteles, quos ordine enumerat ita ut quum non nisi epitomatoris negligentia primi duo septemtrionales *βορρᾶς* sc. et *μέσης* (qui iidem postea vulgo *ἀπαρκτίας* et *βορρᾶς* sive *μέσης*) confundantur ipsumque nomen *μέσης* eum significet qui medius esset inter aparctian et caecian (Ar. p. 363^b 30 cf. Plin. 2, 46), plenum certumque duodecim ventorum systema (de quo cf. Daremberg ad Oribas. II p. 846) agnovisse videatur, quod alienum est ab Aristotele (meteor. 2, 6), primo autem tribuitur Timostheni Ptolemaei Philadelphi secundum Strabonem et Plinium nauarcho (Agathemerus I, 2). atque eosdem duodecim ventos, si errores narrantium corrigas, praeter Eratosthenem (qui octo illos ex Aristotelis disputatione selegit, sc. tres orientales et tres occidentales cum borea et noto, p. 363 ^{b}11—27. cf. Vitruv. 1, 6. Galen. t. XVI p. 406. Favorin. ap. Gell. 2, 22. Agathem. l. c.) posteriores tenent omnes, velut qui Graecos fontes reddere solet et Peripateticos Varro (apud Sen. qu. nat. 5, 16 et Plin. 2, 46 — communi enim fonte

uterque utitur. cf. etiam Veget. de re mil. 5, 8) atque auctor l. de mundo et Adamantius in libro inedito de ventis (cf. Posidon. ap. Strab. I p. 29). quem numerum qui quasi significavit et praeparavit Aristoteles decem tantum nominat, quorum octo *οἱ κατὰ διάμετρόν τε κείμενοι καὶ οἷς εἰσὶν ἐναντίοι* nec nisi dubitando undecimum concedit *φοινικίαν* (p. 364, 2). Pseudaristoteles autem cum Timosthene certa nomina habet reliquorum duorum quos esse negaverat Aristoteles, *λευκόνοτον* sc. (s. *λιβόνοτον*) et qui praeterea nusquam occurrit *ὀρθρόνοτον* (i. e. *εὐρόνοτον* s. *φοινικίαν* vel *φοίνικα*), neque tamen *ἀπαρκτίαν* et *βορέαν* nomine distinguit sicut inde a Timosthene usus obtinuit, sed *βορέαν* (qui etiam Aristoteli idem est cum aparctia) et *μέσην*. scripsit igitur auctor libri *περὶ σημείων*, ex quo de ventis fragmentum hoc excerpsit is qui ultima verba (*ὑπογέγραφα δέ σοι* etc.) addidit, aetate inter Aristotelem et Timosthenem fere intermedia, id est Theophrastea.

Eadem occasione de ventis dixit etiam Pseudarist. de signis (ventorum) c. 2, 10: *αἱ δὲ στάσεις τῶν πνευμάτων οὕτως ἔχουσιν, ὡς ἐν τῷ γράμματι* (vel potius *διαγράμματι*, id est in tabula textui appicta, ut apud Arist. meteor. 2, 6 et in ipso fragm. *π. σημείων* v. Ar. 973[b] 22) *διώρισται.* ubi quae sequuntur (2, 10—12) ex ipsis Aristotelis meteorologicis excerpta sunt (2, 10 = Ar. 2, 6, 16 Id. et 2, 11—12 = Ar. 2, 6, 19—22).

3. (233)

Proclus in Tim. p. 285 f ed. Bas. (p. 691 ed. C. E. Chr. Schneider. Vratisl. 1847): *ἐπειδὴ δὲ τὰ σχήματα καὶ τὰς κινήσεις τῶν οὐρανίων φόβους εἶπε* (Plato Tim. p. 40[d]) *καὶ σημεῖα τῶν γιγνομένων παρέχειν τοῖς δυναμένοις λογίζεσθαι, τοσοῦτον ἰστέον ὅτι οὐ μόνον ἐκεῖνα σημαίνειν οἰητέον, ἀλλὰ σημεῖα γεγονότων ὄντα σημαντικά τινων· διὸ καὶ αὐτὸς τῶν σημαντικῶν ἑαυτοῖς* (ita ed. Bas., quae convenit cum cod. Marc. 190 membr. sec. XV f. 219[a]. *ἐν αὐτοῖς* corr. Schn.) *ἐνεργειῶν προηγουμένως ἐμνήσθη. θαυμασιωτάτην δὲ εἶναί φησιν ὁ Θεόφραστος ἐν τοῖς κατ᾽ αὐτὸν χρόνοις τὴν τῶν Χαλδαίων περὶ ταῦτα θεωρίαν τά τε ἄλλα προλέγουσαν καὶ τοὺς βίους ἑκάστων καὶ τοὺς θανάτους· καὶ οὐ τὰ κοινὰ μόνον οἷον* (286) *χειμῶνας καὶ εὐδίας, ὥσπερ καὶ τὸν ἀστέρα τοῦ Ἑρμοῦ χειμῶνος μὲν ἐκφανῆ γενόμενον ψύχη σημαίνειν καύματα δὲ θέρους, εἰς ἐκείνους ἀναπέμπει· πάντα δ᾽ οὖν αὐτοὺς καὶ τὰ ἴδια καὶ τὰ κοινὰ προγινώσκειν ἀπὸ τῶν οὐρανίων ἐν τῇ περὶ σημείων βίβλῳ φησὶν ἐκεῖνος.*

Cf. Pseudar. de signis c. 3, 9: *ὁ τοῦ Ἑρμοῦ ἀστὴρ χειμῶνος μὲν φαινόμενος ψύχη σημαίνει θέρους δὲ καῦμα.*

4. (234)

Schol. in Arat. 1094 (*διοσ.* 362) p. 244 (ed. Buhle. Lips. 1793 t. I) ex Plutarcho (cuius in Aratum liber erat hoc titulo: *αἰτίαι τῶν Ἀράτου διοσημείων*): *περὶ δὲ τῶν ὀρνίθων Ἀριστοτέλης φησίν, ὅταν μὲν ψυχρὸς καὶ ὑγρὸς ᾖ ὁ ἀήρ, τὸ τηνικαῦτα καὶ αἱ νῆσοι βρεχόμεναι ἀναφύουσιν· ὅταν δὲ αὐχμώδης ᾖ καὶ ξηρός, τότε παντελῶς τῶν νήσων μὴ ἀναφυουσῶν ἐπὶ τὴν γῆν τὰ ἐν ταῖς νήσοις ὄρνεα φεύγουσιν, εἰς ἣν δύνανται κἂν ἐξ ὀλίγου τρέφεσθαι. καὶ οἱ κολοιοὶ δὲ ἐκ τῶν νήσων πετόμενοι τοῖς γεωργοῖς σημεῖον αὐχμοῦ καὶ ἀφορίας εἰσίν· ἐὰν δὲ ἔμμετροι χωρῶσιν, εὐκαρπίαν δηλοῦσι.* [*τὸ δέ, αὐχμῷ ἀνιηθείς* (v. 1098), *ἤγουν βλαβεὶς ὑπὸ τοῦ αὐχμοῦ. ξηρότεραι γὰρ αἱ νῆσοι τῶν ἠπείρων τυγχάνουσαι, ὥς φησι Πλούταρχος, θᾶττον καὶ ῥᾷον τοῦ αὐχμηροῦ καταστήματος ἀντιλαμβάνονται.*

Cf. Arat. 1094—1100 = Pseudar. de signis 1, 17: *καὶ θέρους ὅταν πολλοὶ ἀθρόοι φανῶσιν ὄρνιθες οἳ βιοτεύουσιν ἐν νήσῳ, ὕδωρ σημαίνουσιν· ἐὰν δὲ μέτριοι, ἀγαθὸν αἰξὶ καὶ βοτοῖς· ἐὰν δὲ πολλοὶ ὑπερβολῇ, αὐχμὸν ἰσχυρόν.*

Alter locus schol. in Arat. 1047 (*διοσ.* 315) p. 234 (cf. schol. Mosqu. p. 360), ubi in simili Plutarchi disputatione causam praesagii explicante Theophrastus citatur (*φησὶν οὖν καὶ Θεόφραστος ὅτι ἡ πρῖνος καὶ ἡ σχῖνος αὐχμηραὶ τῇ κράσει καὶ ξηρότεραι τῶν ἄλλων πεφύκασιν.* [*πολὺν οὖν κάρπον οὐ φέρει, ἐὰν μὴ εἰς βάθος ὑγρανθῇ. εἰκότως οὖν τῇ τούτων ἀφορίᾳ καταμαντεύονται περὶ τῶν σπερμάτων οἱ γεωργοί, μιᾶς αἰτίας οὔσης δι' ἧς ἀμφοτέρων ἡ πολυκαρπία ἐπέρχεται. εἰ δὲ ὑπερβάλλει τοῦ καρποῦ τὸ πλῆθος, οὐκ ἀγαθὸν σημεῖον· ἄμετρον γὰρ ἐπομβρίαν καὶ πλεονασμὸν ὑγρότητος ἡ περὶ τὸν ἀέρα ἄνεσις καὶ θηλύτης δηλοῖ. οὕτω καὶ Πλούταρχος*), ad hist. pl. 1, 6, 1. 2 simpliciter referendus videtur.

5. (235)

Aelianus de nat. anim. 7, 7 (p. 118 ed. R. Hercher. Par. 1858):

1. *Ἀριστοτέλους ἀκούω λέγοντος, ὅτι ἄρα γέρανοι ἐκ τοῦ πελάγους εἰς τὴν γῆν πετόμεναι χειμῶνος ἀπειλὴν ἰσχυροῦ ὑποσημαίνουσι τῷ συνιέντι· πετόμεναι δὲ ἄρα ἡσυχῇ αἱ αὐταὶ ὑπισχνοῦνται εὐημερίαν τινὰ καὶ εἰρήνην ἀέρος, καὶ σιωπῶσαι δὲ ὅτι ἔσται ὑπεύδια τοὺς οὐκ ἀπείρως ἔχοντας τῇ σιωπῇ ὑπομιμνήσκουσιν αἱ αὐταί· ἐὰν δὲ καταπέτωνται καὶ βοῶσιν καὶ ταράττωσί τε καὶ ταράττωνται, ἀπειλοῦσι κἀνταῦθα χειμῶνα ἰσχυρόν* (diff. Pseudar. 3, 1. 4, 3. Arat. 1075—81. 1031—32. 1010—12. Ael. 3, 14. cf. Plin. 18, 87: *grues in medi-*

terranea festinantes [ventum] ... grues silentio per sublime volantes serenitatem).

2. *ἐρωδιὸς δὲ κνεφαῖος βοῶν τὰ αὐτὰ ἔοικεν ὑποδηλοῦν, ὡς ὁ αὐτὸς Ἀριστοτέλης φυλάξας λέγει· πετόμενος δὲ ἐρωδιὸς τῆς θαλάττης εὐθὺ ὕδωρ ἐξ οὐρανοῦ ῥαγήσεσθαι αἰνίττει* (Pseudar. 1, 18. 2, 3. Arat. 913—15. 972).

3. *εἰ δὲ εἴη χειμέρια, ᾄσασα γλαὺξ εὐδίαν σημαίνει καὶ ἡμέραν φαιδράν* (Arat. 999 sq.)· *ἐὰν δὲ εὐδία μὲν ᾖ, η δὲ ὑποφθέγγηται, χειμῶνα δεῖ προσδέχεσθαι* (Pseudar. 4, 3. Plin. l. c. *sic noctua in imbre garrula [serenitatem], at sereno tempestatem).*

4. *κόραξ δὲ ἐπιτρόχως φθεγγόμενος καὶ κρούων τὰς πτέρυγας καὶ κροτῶν αὐτάς, ὅτι χειμὼν ἔσται κατέγνω πρῶτος* (Pseudar. 1, 16. 3, 3. Arat. 968 sq. Plin. l. c.). *κόραξ δὲ αὖ καὶ κορώνη* (Ps. 4, 4) *καὶ κολοιὸς* (Arat. 1023) *δείλης ὀψίας εἰ φθέγγοιντο, χειμῶνος ἔσεσθαί τινα ἐπιδημίαν διδάσκουσιν* (Ps. 3, 2: *καὶ κορώνη καὶ κόραξ καὶ κολοιὸς ὀψὲ ᾄδοντες χειμέριοι).*

5. *κολοιοὶ δὲ ἱερακίζοντες, ὡς ἐκεῖνος λέγει, καὶ πετόμενοι πῇ μὲν ἀνωτέρω πῇ δὲ κατωτέρω, κρυμὸν καὶ ὑετὸν δηλοῦσιν* (Ps. 1, 16. Arat. 963—66).

6. *κορώνη δὲ ἐπὶ δείπνου ὑποφθεγγομένη ἡσυχῇ, ἐς τὴν ὑστεραίαν εὐδίαν παρακαλεῖ* (Arat. 1001 sq. cf. Ps. 4, 4).

7. *φανέντες δὲ ὄρνιθες πολλοὶ μὲν τὸν ἀριθμὸν λευκοὶ δὲ τὴν χρόαν* (ut *στρουθὸς ἢ χελιδὼν ἢ ἄλλο τι τῶν μὴ εἰωθότων λευκῶν* sec. Pseudar.), *χειμὼν ὅτι ἔσται πολὺς ἐκδιδάσκουσιν* (Ps. 3, 2. cf. 3, 10. Plin. l. c.).

8. *νῆτται δὲ καὶ αἴθυιαι πτερυγίζουσαι πνεῦμα δηλοῦσιν ἰσχυρόν* (Ps. 2, 3. Arat. 918 sq. Plin. l. c. cf. Ps. 1, 18. Arat. 970 sq.).

9. *ὄρνιθες δὲ ἐκ τοῦ πελάγους εἰς τὴν γῆν σὺν ὁρμῇ πετόμενοι μαρτύρονται χειμῶνα* (Ps. 3, 3. Arat. 1024).

10. *ἐρίθακος δὲ εἰς τὰ αὔλια καὶ τὰ οἰκούμενα παριὼν δῆλός ἐστι χειμῶνος ἐπιδημίαν ἀποδιδράσκων* (*ὄρχιλος* et *ἐριθεύς* Arat. 1024 et cum eo Ps. 3, 2. *ἐρίθακος* appellatur ab Arist. h. a. 9, 49).

11. *ἀλεκτρυόνες γε μὴν καὶ ὄρνιθες οἱ ἠθάδες πτερυσσόμενοι καὶ φρυαττόμενοι καὶ ὑποτρύζοντες χειμῶνα δηλοῦσιν* (diff. Ps. 1, 17. Arat. 960 sq.).

12. *ἀπειλοῦσι δὲ καὶ πνεῦμα λουόμενοί γε ὄρνιθες καὶ ἀνέμων τινὰς ἐμβολὰς ὑποφαίνουσι* (Ps. 1, 15. Arat. 942 sq.). *χειμῶνος δὲ ὄντος εἰς ἀλλήλους ὄρνιθες πετόμενοι καὶ δι' ἀλλήλων θέοντες σημαίνουσιν εὐδίαν. ὄρνιθες δὲ ἀθροιζόμενοι περί τε λίμνας καὶ ποταμῶν*

οχθας χειμῶνα ἐσόμενον οὐκ ἀγνοοῦσι. πάλιν τε ὄρνιθες οἱ μὲν θαλάττιοι καὶ οἱ λιμναῖοι ἐς τὴν γῆν ἰόντες, ὡς ἔσται χειμὼν πολὺς οὐκ ἀγνοοῦσιν (cf. supra §. 9), οἱ δὲ χερσαῖοι σπεύδοντες ἐς τὰ νοτερὰ εὐδίας ἄγγελοί εἰσιν, ἐὰν μέντοι σιωπῶσιν (haec omnia desunt apud Ps. et Arat.).

iam sequitur septimi libri c. 8, ubi primum ex alio fonte aliena affert, deinde ad fontem c. 7 exscriptum eandemque praesagiorum materiam redit Aelianus (cf. Plin. 18, 88 qui eadem ratione ab avibus transit ad pecora ceteraque animalia, usus quidem, ut puto, Varronis quodam de signis libro Graecos imitati, cf. Varro apud Plin. 18, 79).

13. καὶ ἐκεῖνα δὲ προσακήκοα ἐκπλῆξαι ἱκανά. βοῦς ἐὰν βοᾷ καὶ ὀσφραίνηται [τῆς γῆς], ὕειν ἀνάγκη (Ps. 1, 15. Arat. 954 sq. cf. 1118. Plin. l. c.)· ἄδην δὲ βόες καὶ πέρα τοῦ ἔθους ἐσθίοντες δηλοῦσι χειμῶνα (Ps. 3, 4. cf. Arat. 1118—21).

14. πρόβατα δὲ ὀρύττοντα ταῖς ὁπλαῖς τὴν γῆν ἔοικε σημαίνειν χειμῶνα (Ps. 3, 4. Arat. 1082 sq.), ἀναβαινόμενα δὲ τὰ αὐτὰ πρωὶ (πώεα codd.) χειμῶνα ὁμολογεῖ (cf. Ps. 1, 25 et 3, 3. Arat. 1068—71). κοιμώμεναι δὲ ἀθρόαι αἱ αἶγες τὰ αὐτὰ ὁμολογοῦσιν (cf. Ps. 3, 3).

15. ὕες δὲ ἐν τοῖς ἀρώμασι φαινόμεναι ὑετοῦ φυγὴν διδάσκουσιν (corr. μύες? his enim vel vermibus aptum est verbum φαίνεσθαι cf. Ps. 3, 5 γῆς ἔντερα πολλὰ φαινόμενα χειμῶνα σημαίνει = Plin. l. c. *vermes terreni erumpentes*. de porcis alia Ps. 3, 12. Arat. 1123. Plin. l. c.).

16. ἄρνες δὲ ἄρα καὶ ἔριφοι ἀλλήλοις ἐμπηδῶντές τε καὶ ὑποσκιρτῶντες φαιδρὰν ἡμέραν ὁμολογοῦσιν (diff. Arat. 1104 sqq. quae quidem non extant apud Pseudar.).

17. γαλαῖ δὲ ὑποτρίζουσαι καὶ μύες ἐκείναις δρῶντες τὰ αὐτὰ χειμῶνα συμβάλλονται ἔσεσθαι ἰσχυρόν (de muribus Ps. 3, 4. Arat. 1132 sq.).

Rem ipsam explicant Nicander ther. 414—19, Aetius 13, 35 col. 776 (ed. lat. Lugd. 1549): *de chersydro. serpens hic chersydri appellationem inde habet, quod in principio quidem in aquosis degit locis et hydrus appellatur ab ipsis aquis, hoc est natrix, postea vero siccos incolit locos et ex compositione locorum chersydri, id est natricis terrestris, nomen invenit. in terra itaque degens chersydrus appellatur et tum sane se ipso saevior redditur. equidem in humectis locis ex humido victu exsatiatus non purum venenum habet. quum vero terrestris fit, maxime merum et nocentius id acquirit. ceterum similitudine est aspidis terrestris parvae, praeterquam quod cervicem non ita latam habet. hoc enim insigne solum aspides prae his habent. qui igitur ab his morsi sunt, eis communiter eadem accedunt, quae in aliorum serpentium morsu* (cf. fr. 4), *veluti est tumor, continuus dolor arsivus, lividus locus et feculentus, vertigo oculorum, exsolutio, vomitus biliosi foetidi. proprie autem motus totius corporis inordinatus, ut et per ventrem quaedam inordinate ferantur. mors autem intra tres dies.*

6. (320)

Pseuderatosthenis catasterism. (sive Anonymi, ut est in cod. Vindobon. Gr. phil. 142, *ἀστροθεσίαι ζωδίων* ex commentario scil. Alexandrini cuiusdam veteris Arateo secundum ipsum, a quo recedit Hyginus, stellarum fabularumque ordinem Arateum excerptae) 41: *Κόρακος. τοῦτο τὸ ἄστρον κοινόν ἐστιν* (corvi, hydrae, crateris) *ἀπὸ πράξεως γεγονὸς ἐναργοῦς· τιμὴν γὰρ ἔχει ὁ κόραξ παρὰ τῷ Ἀπόλλωνι· ἑκάστῳ γὰρ τῶν θεῶν ὄρνεόν ἐστιν ἀνακείμενον. θυσίας δὲ γινομένης τοῖς θεοῖς* (cf. Ovid. fast. 2, 247), *σπονδὴν πεμφθεὶς ἐνέγκαι ἀπὸ κρήνης τινός, ἰδὼν παρὰ τὴν κρήνην συκῆν ὀλύνθους ἔχουσαν ἔμεινεν ἕως πεπανθῶσιν. μεθ' ἱκανὰς δὲ ἡμέρας πεπανθέντων τούτων, καὶ φαγὼν τῶν συκῶν αἰσθόμενος τὸ ἁμάρτημα, ἐξαρπάσας καὶ τὸν ἐν τῇ κρήνῃ ὕδρον ἔφερε σὺν τῷ κρατῆρι, φάσκων αὐτὸν ἐκπίνειν καθ' ἡμέραν τὸ γιγνόμενον ἐν τῇ κρήνῃ ὕδωρ. ὁ δὲ Ἀπόλλων ἐπιγνοὺς τὰ γενόμενα τῷ μὲν κόρακι ἐν τοῖς ἀνθρώποις ἐπιτίμιον* (ita Heyne. cod. Ox., unde edd., *ἐπιτιμῶν*) *ἔθηκεν ἱκανόν, τοῦτον τὸν χρόνον διψᾶν, καθάπερ Ἀριστοτέλης* (idem nomen etiam in cod. Vind.) *εἴρηκεν ἐν τοῖς περὶ θηρίων, μνημόνευμα δώσων* (*δώσας* ed. 1672, cf. Bernhardy Erat. p. 122) *τῆς εἰς θεοὺς ἁμαρτίας σαφές, εἰκονίσας* (add. *δὲ*) *ἐν τοῖς ἄστροις ἔθηκεν εἶναι τόν τε ὕδρον καὶ τὸν κρατῆρα καὶ τὸν κόρακα μὴ δυνάμενον πιεῖν μηδὲ προσελθεῖν τῷ κρατῆρι* (cod. Oxon. et edd. *τόν τε ὕδρον καὶ μὴ δυνάμενον πιεῖν καὶ μὴ προσελθεῖν*). similia etiam nunc extant in schol. gr. ad Arati phaen. v. 449 p. 104 (cf. cod. Mosq. p. 303) Buhle: *εἴδωλον κόρακος: τινές φασι τὸν κόρακα θεράποντα Ἀπόλλωνος ὄντα ὑπ' αὐτοῦ πεμφθῆναι σπονδῶν χάριν ἔκ τινος κρήνης κομιοῦντα καθαρὸν ὕδωρ ἐν κρατῆρι, ἰδόντα δὲ συκῆν ὀλύνθους ἔχουσαν ἀναμεῖναι μέχρι πεπανθῶσι· φαγόντα δὲ οὕτω καὶ τὸ ἁμάρτημα συνθήσαντα ἁρπάσαντά τε ὕδωρ* (corr. *ὕδραν*) *ἐκ πηγῆς ὁμοῦ τῷ κρατῆρι φέρειν καὶ λέγειν, ὡς διεκωλύετο ὑδρεύσασθαι ὑπ' αὐτῆς· Ἀπόλλωνα δὲ γνόντα τὸ ἀληθὲς εἰς ὄρνεον αὐτὸν μεταμορφῶσαι καὶ ποιῆσαι δίψαν περὶ τὴν ἀκμὴν τῆς ὀπώρας.* (*κατηστερίσθη δὲ πάντων τὰ εἴδωλα* add. Mosq.)

Ex anonymi huius fonte, quem Alexandrinum fuisse et antiquum, verum scil. Eratosthenem (quem in hoc ipso capite citat Hyginus p. 415, ut saepe), ipsum probat testimonium libri *περὶ θηρίων* i. e. de bestiis venenatis (*περὶ δακετῶν*) Aristoteli pro Theophrasto ex illius aetatis usu adscripti, ex hoc eodem igitur fonte eandem narrationem hauserunt Ovidius in fast. 2, 243—66 et Hyginus poet. astron. 2, 40 qui ita (p. 412 ed. Th. Muncker. Amst. 1681): ***Hydra*, *in qua corvus insidere et crater***

positus existimatur, de qua hanc habemus memoriae proditam causam. corvus Apollinis tutela usus, eo sacrificante missus ad fontem aquam puram petitum, vidit arbores complures ficorum immaturas. eas exspectans dum maturescerent, in arbore quadam earum consedit. itaque post aliquot dies coctis ficis et a corvo compluribus earum comesis, exspectans Apollo corvum vidit eum cum cratere pleno volare festinantem. pro quo admisso eius dicitur, quod diu moratus sit, Apollinem qui coactus mora corvi alia aqua est usus, hac ignominia cum affecisse, ut quam diu fici coquerentur corvus bibere non possit, ideo quod guttur habeat pertusum illis diebus. itaque quum vellet significare sitim corvi, inter sidera constituit cratera et supposuit hydram, quae corvum sitientem moraretur. videtur enim rostro caudam eius extremam verberare, ut tamquam sinat se ad craterem transire. haec Nigidio Figulo deberi docet qui eum exscribere solet auctor scholiorum Lactantio antiquior in Germanici Arat. phaen. 426 p. 88 Buhl., ubi haec: . . . *qui corvus ideo inter astra collocatus dicitur eo quod fuerit in tutela Apollinis, a quo missus ad fontem ut diis ad libandum aquam deferret, quum vidisset arbores grossos ficus habentes, volans consedit in eis donec maturae fierent, et aquam deferre distulit. post paucos autem dies peracto sacrificio, quum ille ficus comedisset et se diis peccasse sensisset, denuo ad fontem ut aquam hauriret rediit et ab hydra exterritus vas vacuum reportavit, dicens excessisse aquam quae fuerat in fonte. cognoscens Apollo sibi corvum peccasse prohibuit eum eo tempore aquam bibere, ut Aristoteles dicit in eo libro qui de bestiis scribitur. et Isidorus* (cf. Gust. Becker ad Isid. de nat. rer. ed. Berol. 1857 prol. p. X) *in naturalibus vel in physicis memoriae tradidit, quod ipse peccati poenas daret, qui et postea astris illatus est. crater autem in medio angue positus est, caudam autem anguis corvus appetit rostro neque potest iuxta accedere ut bibat.* pro quibus verbis in altera huius scholiastae antiquiorumque codicum (v. M. Hertz in: Bericht der Akad. zu Berlin 1847 p. 421) recensione, quam e cod. Paris. 7886 reddit Heinsii apographum nunc Berolinense (ms. Diez. Sant. 94), ita legitur (cf. R. Merkel ad Ovid. fast. ed. Berol. 1841 p. XC): *Hoc signum commune est quod est factum arcis honoratus est autem corvus ab Apolline sacrificio facto de his respondenda adferre de lacu quodam quod fuit castum antequam vinum ostenderetur. Qui cum vidisset et ad fontem ficus grossos arbores habentes volans consedit in eis donec mature fierent. Post paucos dies peractos agros et ille ficus comedit cum sensisset se peccasse eripit ex eo fontem aquam attulit cum ipso cratere dicens exci-*

disse quod fuerit in fontem aqua recognita Apollo corvo inter homines poenam ad paucum tempus dedit sitim ut A r i s t o t e l e s dicit in eo libro qui de bestiis scribitur. Item Isidorus in naturalibus idem phisicis memorie tradidit ut ipse peccatis poenas daret quem postea astris intulit. Caetera (sic) *autem cum qua medio posuit angue caudam autem anguis in medio corvo rostro adpetentem neque posse iuxta ascendere ut bibat.* quae sane propius accedunt ad catasterismos Graecos fontemque Graecum a Nigidio versum.

7.

Pseudarist. mir. 144: *Ἐν Μυσίᾳ* (in Thracia Paus. 8, 17) *φασὶν ἄ ρ κ τ ω ν τι γένος εἶναι λευκόν, αἳ ὅταν κυνηγῶνται ἀφιᾶσι τοιαύτην πνοήν, ὥστε τῶν κυνῶν τὰς σάρκας σήπειν, ὡσαύτως δὲ καὶ τῶν λοιπῶν θηρίων, ἀβρώτους τε ποιεῖν. ἐὰν δέ τις καὶ βιάσηται καὶ ἐγγίσῃ, ἀφιᾶσιν ἐκ τοῦ στόματος φλέγμα πάμπολύ τι, ὡς ἔοικεν, ὃ προσφυσᾷ πρὸς τὰ πρόσωπα τῶν κυνῶν, ὡσαύτως δὲ καὶ τῶν ἀνθρώπων, ὥστε καὶ ἀποπνίγειν καὶ ἀποτυφλοῦν.*

Plin. 11, 115, 277: *Animae leonis virus grave* (cf. 8, 18, 46), *ursi pestilens. contacta halitu eius nulla fera attingit ociusque putrescunt afflata reliquis . . . elephantorum anima* (imno cervorum — confundebantur sc. *ἐλέφας* et *ἔλαφος* — cf. Ael. 2, 9. Opp. cyn. 2, 236. hal. 2, 289. Plin. 8, 50, 118. Nic. ther. 142) *serpentes extrahit, cervorum urit..*

8.

Athen. VII p. 314: *Ἐν δὲ τῷ περὶ τῶν δακετῶν καὶ βλητικῶν διαπέμπεσθαί φησι* (sc. *Θεόφραστος*) *τὴν ν ά ρ κ η ν τὴν ἀφ' αὑτῆς δύναμιν καὶ διὰ τῶν ξύλων καὶ διὰ τῶν τριοδόντων ποιοῦσαν ναρκᾶν τοὺς ἐν χερσὶν ἔχοντας. [εἴρηκε δὲ τὴν αἰτίαν Κλέαρχος ὁ Σολεὺς ἐν τῷ περὶ νάρκης.]*

Cf. Plut. de sol. an. 27. Ael. 9, 14. Plin. 32, 2. ad Plin. 9, 67, 143 cf. Opp. hal. 2, 68—74.

9. (321)

Aelian. de n. a. 6, 14: *Ἡ ὕ α ι ν α, ὡς Ἀ ρ ι σ τ ο τ έ λ η ς λέγει, ἐν τῇ ἀριστερᾷ χειρὶ ἔχει δύναμιν ὑπνοποιὸν καὶ ἐνεργάζεται κάρον μόνον προσθιγοῦσα. πάρεισι γοῦν ἐς τὰ αὔλια πολλάκις καὶ ὅταν ἐντύχῃ τινὶ καθεύδοντι, προσελθοῦσα ἡσυχῇ τὴν ὑπνοποιόν, ὡς ἂν εἴποις, χεῖρα προσέθηκε τῇ ῥινί· ὁ δὲ ἕλκεταί τε καὶ πιέζεται καὶ ἀναισθήτῳ μᾶλλον ἔοικε· καὶ ἐκείνη μὲν ὑπορύττει τὴν γῆν τὴν ὑπὸ τῇ κεφαλῇ ἐς τοσοῦτον, ἐς ὅσον ἀνέκλασεν ἐς τὸν βόθρον καὶ τὴν φάρυγγα ὑπτίαν*

ἀπέφηνε καὶ γυμνήν· ἐνταῦθα δὲ ἡ ὕαινα ἐνέφυ καὶ ἀπέπνιξεν καὶ ἐς τὸν φωλεὸν ἀπάγει. καὶ τοῖς κυσὶ δὲ ἐπιτίθεται ἡ αὐτὴ τὸν τρόπον ἐκεῖνον· ὅταν ᾖ πλήρης ὁ τῆς σελήνης κύκλος, κατόπιν λαμβάνει τὴν αὐγὴν καὶ τὴν αὐτῆς σκιὰν ἐπιβάλλει τοῖς κυσὶ καὶ παραχρῆμα αὐτοὺς κατεσίγασεν καὶ καταγοητεύσασα, ὡς αἱ φαρμακίδες, εἶτα ἀπάγει σιωπῶντας καὶ κέχρηται ὅ τι καὶ βούλεται τὸ ἐντεῦθεν αὐτοῖς.

Alterum, quod breviter iam tetigit Ael. 3, 7 (v. in fr. 16), habent etiam Pseudarist. mir. 145: *Ἐν δὲ τῇ Ἀραβίᾳ ὑαινῶν τι γένος φασὶν εἶναι, ὃ ἐπειδὰν προίδῃ τι θηρίον ἢ ἀνθρώπου ἐπιβῇ ἐπὶ τὴν σκιάν, ἀφωνίαν ἐργάζεται καὶ πῆξιν τοιαύτην ὥστε μὴ δύνασθαι κινεῖν τὸ σῶμα. τοῦτο δὲ ποιεῖν καὶ ἐπὶ τῶν κυνῶν.*

et Plinius 8, 44 (post Aristotelem citatum): *multa praeterea mira traduntur* (de hyaena. ceterum Iubae sunt quae proxime sequuntur, sicut s. 45 = Ael. 7, 22) . . . *umbrae eius contactu canes obmutescere et quibusdam magicis artibus omne animal quod ter lustraverit in vestigio haerere.*

Cf. etiam Plin. 28, 27 et Geopon. 15, 1, 12 et de leonis quoque vi soporifera simile quid apud Oppian. hal. 3, 53 (de hyaena pisce Ael, 13, 27).

10.

Pseudarist. mir. 151: *Ἐν Θετταλίᾳ φασὶν τὸν* ἱερὸν *καλούμενον* ὄφιν *πάντας ἀπολλύειν, οὐ μόνον ἐὰν δάκῃ, ἀλλὰ καὶ ἐὰν θίγῃ. διὸ καὶ ὅταν φανῇ καὶ τὴν φωνὴν ἀκούσωσι· φαίνεται δὲ σπανίως· φεύγουσι καὶ οἱ ὄφεις καὶ οἱ ἔχεις καὶ τἆλλα πάντα θηρία. τῷ δὲ μεγέθει οὐκ ἔστι μέγας, ἀλλὰ μέτριος. ἐν Τήνῳ δέ ποτέ φασιν αὐτὸν τῇ πόλει κατὰ Θετταλίαν ἀναιρεθῆναι ὑπὸ γυναικός, γενέσθαι δὲ τὸν θάνατον τοιόνδε· γυναῖκα κύκλον γράψασαν καὶ τὰ φάρμακα θεῖσαν εἰσβῆναι εἰς τὸν κύκλον αὐτὴν καὶ τὸν υἱόν, εἶτα μιμεῖσθαι τὴν φωνὴν τοῦ θηρίου· τὸ δὲ ἀντᾴδειν* (*recanere* Plin. 28, 4) *καὶ προσιέναι, ᾄδοντος δὲ καταδαρθεῖν τὴν γυναῖκα καὶ ἐγγυτέρω προσιόντος μᾶλλον, ὥστε μὴ δύνασθαι κρατεῖν τοῦ ὕπνου· τὸν δ᾽ υἱὸν παρακαθήμενον ἐγείρειν τύπτοντα κελευούσης ἐκείνης, καὶ λέγειν ὅτι ἐὰν μὲν καθυπνώσῃ, ἀπολεῖται καὶ αὐτὴ καὶ ἐκεῖνος, ἐὰν δὲ βιάσηται καὶ προσαγάγηται τὸ θηρίον, σωθήσονται· ὡς δὲ προσῆλθεν ὁ ὄφις εἰς τὸν κύκλον, αὖον εὐθὺς γενέσθαι αὐτόν.*

Cf. Arist. h. a. 8, 29. 607, 30: *ἔστι δέ τι ὀφείδιον μικρόν, ὃ καλοῦσί τινες ἱερόν, ὃ οἱ πάνυ μεγάλοι ὄφεις φεύγουσιν· γίνεται δὲ τὸ μέγιστον πηχυαῖον, καὶ* (add. *οὐ*, ut supra *φαίνεται δὲ σπανίως*) *δασὺ ἰδεῖν· ὅ τι δ᾽ ἂν δάκῃ, εὐθὺς σήπεται τὸ κύκλῳ.*

Eundem tangere videtur Iulius Africanus cest. 4 p. 290 (Par. 1693):

θρισσὸς (corr. *ὁ ἱερὸς*) *ὄφις ἐστὶ Θετταλός, χρόαν δρακοντίδος, παραπλήσιος μήκει. ὁ δὲ αὐτὸς καὶ ἐπὶ τῆς Ἀσίας πολὺς γίνεται* etc.

11.

Pseudarist mir. 142: *Ἐν Κουρίῳ τῆς Κύπρου ὄφεών τι γένος εἶναί φασιν, ὃ τὴν δύναμιν ὁμοίαν ἔχει τῇ ἐν Αἰγύπτῳ ἀσπίδι* (de qua v. Arist. p. 607, 21. Ael. 3, 33. 1, 54. 6, 38), *πλὴν ὅτι τοῦ χειμῶνος ἐὰν δάκῃ οὐδὲν ἐργάζεται, εἴτε δι' ἄλλην τινὰ αἰτίαν, εἴτε διότι τὸ ζῶον δυσκίνητον γίνεται ὑπὸ τοῦ ψύχους ἀποπηγνύμενον καὶ τελέως ἀδύνατον, ἐὰν μὴ θερμανθῇ.*

12.

Pseudarist. mir. 148: *Καὶ ἐν Σικελίᾳ δέ φασι καὶ ἐν Ἰταλίᾳ τοὺς γαλεώτας θανάσιμον ἔχειν τὸ δῆγμα καὶ οὐχ ὥσπερ τοὺς παρ' ἡμῖν ἀσθενὲς καὶ μαλακόν. εἶναι δὲ καὶ μυιῶν* (cf. Ael. 9, 15 in fr. 2. al. l. *μυῶν*) *γένος ἐφιπτάμενον, ὃ ὅταν δάκῃ ἀποθνήσκειν ποιεῖ.*

Plinius, qui aut sua aut fontis negligentia regionum nomina invertit, 8, 49: *eosdem* (stelliones sc.) *pestiferi in Graecia morsus, innocuos esse in Sicilia* (Theophrastus auctor est).

Cf. Arist. h. a. 8, 29. 607, 26: *τῆς δ' Ἰταλίας ἔν τισι τόποις καὶ τὰ τῶν ἀσκαλαβωτῶν δήγματα θανάσιμά ἐστιν.*

13.

Pseudarist. mir. 149—50: *Ἐν δὲ τῇ Μεσοποταμίᾳ τῆς Συρίας φασὶ καὶ ἐν Ἰστροῦντι* (ita codd.) *ὀφείδιά τινα γίγνεσθαι, ἃ τοὺς ἐγχωρίους οὐ δάκνει, τοὺς ξένους δὲ ἀδικεῖ σφόδρα. περὶ δὲ τὸν Εὐφράτην καὶ τελείως φασὶ τοῦτο γίγνεσθαι· πολλοὺς γὰρ φαίνεσθαι περὶ τὰ χείλη τοῦ ποταμοῦ καὶ διανέοντας ἐφ' ἑκάτερα, ὥστε τῆς δείλης ἐνταῦθα θεωρουμένους ἅμα τῇ ἡμέρᾳ ἐπὶ θατέρου μέρους φαίνεσθαι καὶ τοὺς ἀναπαυομένους τῶν μὲν Σύρων μὴ δάκνειν, τῶν δ' Ἑλλήνων μὴ ἀπέχεσθαι.*

Plinius 8, 84: *Iam quaedam animalia indigenis innoxia advenas interimunt, sicut serpentes parvi in Tirynthe* (v. l. *Mirinthe.* nomen corruptum est). *item in Syria angues circa Euphratis maxime ripas dormientes Syros non attingunt aut etiamsi calcati momordere, non sentiuntur maleficia, aliis cuiuscunque gentis infesti, avide et cum cruciatu exanimantes, quamobrem et Syri non necant eos.* [*contra in Latmo Cariae monte Aristoteles tradit a scorpionibus hospites non laedi, indigenas interimi*].

Eadem testimonia inter se copulari vides non solum ab Apollonio

(mir. 11—12) sed quodam modo etiam ab Antigono (mir. 16), quorum alter Caricis scorpionibus et Aristoteli *ἐν νομίμοις βαρβαρικοῖς* citato haec e Theophrasto subiungit: *περὶ Βαβυλῶνα δὲ διαβάντι τὸν Εὐφράτην ποταμὸν ὀφίδια γίγνεται καὶ τοὺς μὲν ξένους τύπτει, τοὺς δ' ἐντοπίους οὐκ ἀδικεῖ.* Antigonus autem alio electo exemplo haec: *τῶν δὲ Λιβύων καλοῦνται Ψύλλοι τινές, παρ' οἷς ἀνάπαλίν τι γίνεται τούτου· ὑπὸ γὰρ τῶν ἀσπίδων οὗτοι μὲν οὐδὲν πάσχουσι τυπτόμενοι* (cf. Agatharch. ap. Ael. 16, 27), *τῶν δὲ λοιπῶν οὐκ ἔστιν ὅστις διαφεύγει δηχθείς.*

Aelian. 9, 29: *Εὐφράτης ... πρὸς ταῖς πρώταις ἀνατολαῖς τοῦδε τοῦ ποταμοῦ φύονταί τινες ὄφεις καὶ μάλα γε ἀνθρώπων ἐχθροί, ἀλλ' οὐ τῶν ἐπιχωρίων καὶ συντρόφων, τῶν δὲ ξένων καὶ προσηκόντων οὐδέν· καὶ τιμῶνταί γε τὴν ἐπιδημίαν θανάτου αὐτοῖς.*

14.

Pseudarist. mir. 139: *Ἐν Ἄργει δέ φασι γίνεσθαι ἀκρίδος τι γένος ὃ καλεῖται σκορπιομάχον. ὅταν γὰρ ἴδῃ τάχιστα σκορπίον, ἀνθίσταται αὐτῷ· ὡσαύτως δὲ καὶ ὁ σκορπίος ἐκείνῃ· καὶ κύκλῳ περιιοῦσα τρίζει περὶ αὐτόν, τὸν δὲ τὸ κέντρον ἐπαίροντα ἀντιπεριάγειν ἐν τῷ αὐτῷ τόπῳ. εἶτα κατὰ μικρὸν ἀνιέναι τὸ κέντρον καὶ τέλος ὅλον ἐκτείνεσθαι, τῆς ἀκρίδος κύκλῳ τρεχούσης. τὰ τελευταῖα δὲ προσελθοῦσα κατεσθίει αὐτὸν ἡ ἀκρίς. ἀγαθὸν δέ φασιν εἶναι καὶ πρὸς τὰς πληγὰς τοῦ σκορπίου τὸ ἐπιφαγεῖν αὐτήν.*

15.

Pseudarist. mir. 146: *Κατὰ δὲ Συρίαν εἶναί τί φασι ζῷον ὃ καλεῖται λεοντοφόνον· ἀποθνήσκει γὰρ ὁ λέων, ὡς ἔοικεν, ὅταν αὐτοῦ φάγῃ. ἑκὼν μὲν οὖν τοῦτο οὐ ποιεῖ, ἀλλὰ φεύγει τὸ ζῷον· ὅταν δὲ συλλαβόντες αὐτὸ οἱ κυνηγέται καὶ ὀπτήσαντες ὥσπερ ἄλφιτα λευκὰ περιπάσσωσιν ἄλλῳ ζῴῳ, γευσάμενον ἀπόλλυσθαί φασι παραχρῆμα. κακοῖ καὶ προσουροῦν τὸν λέοντα τοῦτο τὸ ζῷον.*

Plinius 8, 57 (inter Theophrastea): *urinae et duobus aliis animalibus ratio mira. leontophonon accipimus vocari parvum nec alibi nascens quam ubi leo gignitur, quo gustato tanta illa vis ut ceteris quadripedum imperitans illico exspiret. ergo corpus eius exustum adspergunt aliis carnibus polentae modo insidiantes ferae necantque etiam cinere, tam contraria est pestis. haud immerito igitur odit leo visumque frangit et citra morsum exanimat. ille contra urinam spargit prudens hanc quoque leoni exitialem* (cf. Solin. c. 27, 21. iam sequitur de lynce ex Th. de invid. an.).

Hesych. s. λεοντοφόνον: θηρίδιόν τι πλανώμενον ἐν Συρίᾳ.

Aelian. 4, 18: Λεοντοφόνου φαγὼν ὁ λέων ἀποτέθνηκεν. τὰ δὲ ἔντομα φθείρεται, εἰ ἐλαίῳ τις ἐγχρίσειεν αὐτά (cf. Arist. h. a. 8, 27. 605^{b}19: πάντα δὲ τὰ ἔντομα ἀποθνήσκει ἐλαιούμενα. Galen. t. XI p. 475. 514). γυπῶν γε μὴν (v. fr. 16) τὸ μύρον ὄλεθρός ἐστι. κάνθαρον δὲ ἀπολεῖς, εἰ ἐπιβάλοις τῶν ῥόδων αὐτῷ (quae cum insectis olei adspersu necatis eodem modo componit inter copias Theophrasteas afferens Plinius 11, 115, 279 et ipse Theophrastus de caus. pl. 6, 5, 3. item Clem. Al. paed: 2, 8, 66. Sext. Empir. p. 14, 17 Bekk. Eustath. in Hexaem. p. 31 cf. 27 ed. Lugd. 1629).

16.

Pseudarist mir. 147: Λέγεται καὶ τοὺς γῦπας ὑπὸ τῆς τῶν μύρων ὀσμῆς ἀποθνήσκειν, ἐάν τις αὐτοὺς χρίσῃ ἢ δῷ τι μεμυρισμένον φαγεῖν. ὡσαύτως δὲ καὶ τοὺς κ α ν θ ά ρ ο υ ς ὑπὸ τῆς τῶν ῥόδων ὀσμῆς.

Plin. 11, 115. Ael. 4, 18 (v. in fr. 15). id. 3, 7: κύνας δὲ ἀφώνους ἀποφαίνειν τὰς ὑαίνας, ὅταν αὐταῖς τὴν σκιὰν ἐπιβάλῃ, ἡ αὐτὴ (sc. ἡ φύσις) παρέσχεν (v. fr. 9). εὐωδία δὲ καὶ μύρον γυψὶν αἰτία θανάτου. κύκνων δὲ κώνειον ὄλεθρος (de scarabaeis add. Ael. 1, 38 et inter multa alia rerum mortiferarum exempla id. 6, 46).

Rem a multis memoratam (cf. Niclas ad Geopon. p. 970. 1032. Jacobs ad Ael. t. II p. 141) ipse etiam alibi tangit Theophrastus, de caus. pl. 6, 5, 1: ἔχει δὲ καὶ κατὰ τὰς ὀσμὰς ὁμοίως· ἄλλαι γὰρ ἄλλοις ἐναντίαι καὶ οὐ πρόσφοροι, καὶ οὐ μόνον ὥστε μὴ δεῖσθαι μηδὲ ζητεῖν ἀλλ' ὑπὸ τῶν ἡδίστων ἡμῖν ἀναιρεῖσθαι, καθάπερ οἱ γῦπες ὑπὸ τῶν μύρων καὶ οἱ κάνθαροι ὑπὸ τῶν ῥόδων. idem de odor. 4: πονεῖν δ' ἔνια φαίνεται ταῖς ὀσμαῖς καὶ ταῖς εὐωδίαις, εἴπερ ἀληθὲς τὸ ἐπὶ τῶν γυπῶν καὶ τῶν κανθάρων.

Superioribus quae certa sunt, alia quaedam hic addo quae ad eundem Theophrasti libellum probabili saltem coniectura referas.

Etenim quum de aspide Aegyptia mentionem illum fecisse doceat fr. 11, ad eundem sine dubio fontem pertinent ea verba quae post titulum libelli tacito declaratum (3, 32) statim Aelianus adiicit (3, 33): ἡ Λίβυσσα δ' ἀ σ π ί ς, ἀκούω, τὸν πρὸς τὸ φύσημα αὐτῆς ἀντιβλέψαντα, ὅταν πρησθῇ τὸν τράχηλον, τυφλοῖ τὴν ὄψιν· ἡ δὲ ἄ λ λ η οὐ τυφλοῖ μέν, ἀποκτείνει δὲ ῥᾷστα (cf. Schneider ad h. l.). quibus ea praecesserint, quae more solito discerpta idem posuit 6, 38 (cf. 1, 54): τῶν ὑπ' ἀσπίδος δηχθέντων etc.... οἱ δηχθέντες δὲ ὑπ' ἀσπίδων οὐ περαιτέρω βιοῦσι

τετάρτης ὥρας . . . Λίβυσσαν δὲ ἄρα ἀσπίδα καὶ ἀποφαίνειν τυφλοὺς τῷ φυσήματι λέγει τις λόγος.

Praeterea autem et de ipso basilisco (cf. fr. 10) 'talia fere Theophrastus narraverit qualia tradente quidem ut puto Iuba (quo in hoc potissimum de Libycis belluis argumento utitur) habet Plinius 8, 33, 77—78 (Solin. 27, 51—53). is enim quem *Cyrenaica generat provincia, duodecim non amplius digitorum magnitudine . . . sibilo omnes fugat serpentes . . . necat frutices non contactos modo verum et afflatos, exurit herbas, rumpit saxa: talis vis malo est. creditum quondam ex equo occisum hasta et per eam subeunte vi non equitem modo sed equum quoque absumptum* etc. nam quum primam in hoc octavo libro Theophrasti mentionem inter Democritum citatum (§ 61) et Euanthem (§ 81) nunc desiderari index auctorum a Plinio appellatorum ostendat (cf. H. Brunn, de auctorum indicibus Plinianis. Bonn. 1856 p. 14), qui deinceps recenseat Democritum Theophrastum Euanthem Agroetam (hic enim est Agriopas iste § 82), nihil in hoc omni loco inest quod tali fonti praeter illa convenire reperiatur. his autem consona sunt quae de basilisco Aelianus promit (2, 5. idem ex Archelao 2, 7. cf. Nicander ther. 396—410, ad cuius v. 404 cf. Priscianus v. 42). Heliodorus denique (Aethiop. 3, 8) qui de basilisco similia tangit libris (ut mentitur, sacris) de animalibus usus, fabulam praemittit de charadrio icterum medente (Ael. 17, 13. Plin. 30, 28), quam libro de invidia quae dicatur animalium Theophrasteo deberi pro certo affirmaveris. sic enim ille: *εἰ δὲ χρή σοι καὶ παραδείγματος ἕνεκα λόγον τινὰ φυσικώτερον παραθέσθαι, βίβλοις δὲ ἱεραῖς ταῖς περὶ ζώων ἀνάγραπτον· ὁ χαραδριὸς τοὺς ἰκτεριῶντας ἰᾶται, καὶ ὁ τοῦτο πάσχων εἰ τῷ ὀρνέῳ προσβλέποι, τὸ δὲ φεύγει καὶ ἀποστρέφεται τοὺς ὀφθαλμοὺς ἐπιμῦσαν, οὐ φθονοῦν ὡς οἴονται τινὲς τῆς ἐπιμελείας, ἀλλ᾽ ὅτι θεώμενος ἕλκειν καὶ μετασπᾶν εἰς ἑαυτὸν ὥσπερ ῥεῦμα πέφυκε τὸ πάθος· καὶ διὰ τοῦτο ἐκκλίνει καθάπερ τρῶσιν τὴν ὅρασιν* (eadem ex communi fonte exserpsit Plutarchus qu. conv. 5, 7, 2 cuius affero postrema verba haec: *οὐ φθονοῦντες ὡς ἔνιοι νομίζουσι τῆς ἀπ᾽ αὐτῶν ἰάσεως, ἀλλ᾽ ὥσπερ ὑπὸ πληγῆς τιτρωσκόμενοι*). *καὶ ὄφεων δὲ ὁ καλούμενος βασιλίσκος ὅτι καὶ πνεύματι μόνῳ καὶ βλέμματι πᾶν ἀφαναίνει καὶ λυμαίνεται τὸ ὑποπῖπτον, ἴσως ἀκήκοας.*

IV.

Περὶ τῶν λεγομένων φθονεῖν.

[Aristot. fr. 322.]

1.

Th. ap. Phot. 278, p. 528, 41.

Ὅτι ὁ γαλεώτης, φασί, φθονῶν τῆς ὠφελείας τοῖς ἀνθρώποις καταπίνει τὸ δέρμα ὅταν ἐκδύηται· ἔστι γὰρ βοήθημα ἐπιλήπτῳ. καὶ ὁ ἔλαφος τὸ δεξιὸν κατορύττει κέρας πρός τε τὰ τῆς φρύνης φάρμακα καὶ πρὸς ἄλλα πολλὰ χρήσιμον (cf. Arist. h. a. 9, 5. 611, 29). καὶ ἡ ἵππος ἀπεσθίει τῶν πώλων τὸ ἱππομανές· καὶ γὰρ τοῦτο πρὸς ἔνια χρήσιμον (cf. Ar. h. a. 6, 22 p. 579, 9. 8, 24. 605, 2. 6, 18. 572, 20. ex Ar. Plin. 8, 66). καὶ ἡ φώκη ὅταν μέλλῃ ἁλίσκεσθαι, ἐξεμεῖ τὴν πυτίαν χρησιμεύουσαν καὶ ταύτην τοῖς ἐπιλήπτοις. καὶ ὁ χερσαῖος ἐχῖνος ἐνουρεῖ τῷ δέρματι καὶ διαφθείρει. καὶ ἡ λύγξ κατακρύπτει τὸ οὖρον, ὅτι πρὸς τὰς σφραγῖδας καὶ πρὸς ἄλλας χρείας ἐπιτήδειον (eandem rem tangit Th. in l. de lap. 28 ... τὸ λυγκούριον· καὶ γὰρ ἐκ τούτου γλύφεται τὰ σφραγίδια ... εὑρίσκουσι δ' ἀνορύττοντες οἱ ἔμπειροι· κατακρύπτει γὰρ καὶ ἐπαμᾶται γῆν ὅταν οὐρήσῃ· γίνεται δὲ καὶ κατεργασία τις αὐτοῦ πλείων). ἀλλ' ὅτι μὲν

2.

Οὐχ ἧττον δὲ τούτων θαυμάσια τὰ φθονερὰ (cod. Bastio teste φθαρ..κά, unde Xyl. φθαρτικά. at cf. Phot. ἱππομανές) τῶν ὠφελούντων, οἷον ὁ γαλεώτης ὅταν ἐκδύῃ τὸ γῆρας, ἐπιστραφεὶς καταπίνει· ἐπιληψίας γάρ ἐστι. φασίν, ὡς ὁ Ἀριστοτέλης (322) καταγράφει, φάρμακον. ὡσαύτως δ' ἡ φώκη *μετὰ τὸ τεκεῖν τὸν θορόν* (fort. λέγεται ἐμεῖν τὸν ὀρόν, cf. Niclas ad h. l.)· καὶ γὰρ τοῦτο πρὸς τὴν αὐτὴν ἀρρωστίαν χρήσιμον. τὰς δὲ ἵππους τὸ ἐπιφυόμενον τοῖς ἐμβρύοις ἱππομανὲς ἀπεσθίειν· γίνεσθαι δὲ τοῦτο ἐπὶ τοῦ μετώπου καὶ πρὸς πολλὰ ζητεῖσθαι. τὴν δὲ ἔλαφον τὸ δεξιὸν κέρας κατορύσσειν· εἶναι δὲ καὶ τοῦτο ἐν πολλοῖς χρήσιμον. ταῦτα μὲν οὖν εἴτε κατὰ προαίρεσιν εἴτε κατὰ τύχην οὕτως ἔχει, πολλῆς ἐστιν ἐπιστάσεως δεόμενα (Antig. mir. 20. cf. Phot. lex. s. ἱππομανές).

3.

τὸν δὲ γαλεώτην ὅταν ἐκδύσηται τὸ δέρμα καθάπερ οἱ ὄφεις, ἐπιστραφέντα καταπίνειν· τηρεῖσθαι γὰρ ὑπὸ τῶν ἰατρῶν διὰ τὸ χρήσιμον εἶναι τοῖς ἐπιληπτικοῖς (Ar. mir. 66).

Τὰς ἐν Ἠπείρῳ ἐλάφους κατορύττειν φασὶ τὸ δεξιὸν κέρας ὅταν ἀποβάλωσι, καὶ εἶναι πρὸς πολλὰ χρήσιμον.

Φασὶ δὲ καὶ τὴν φώκην ἐξεμεῖν τὴν πυτίαν ὅταν ἁλίσκηται· εἶναι δὲ φαρμακῶδες καὶ τοῖς ἐπιλήπτοις χρήσιμον.

Καὶ τὴν λύγκα δέ φασι τὸ οὖρον κατακαλύπτειν διὰ τὸ πρὸς ἄλλα τε χρήσιμον εἶναι καὶ τὰς σφραγῖδας (Ar. mir. 75—77).

4.

dextrum (cervi) *cornu negant inveniri ceu medicamento aliquo praeditum . . . defodi ab iis putant. [accensi autem utrius libeat odore serpentes fugantur et comitiales morbi deprehenduntur* (Plin. 8, 50).

evomit fel suum (vitulus marinus i. e. φώκη) *ad multa medicamenta utile, item coagulum ad comitiales morbos, ob ea se peti prudens. Theophrastus auctor est anguis modo et* stelliones *senectutem exuere itaque protinus devorare praeripientes comitiali morbo remedia* (Plin. 8, 49. antea memoratur simile fibri ingenium et ranae rubetae i. e. φρύνης, de qua v. Ael. 17, 12. cf. 9, 11). cf. Apuleius de magia c. 51: . . . *in alio libro quem de invidentibus animalibus conscripsit, remedio esse ait* (sc. *caducis*) *exuvias stellionum, quas velut senium more ceterorum serpentium temporibus statutis exuant. sed nisi confestim eripias, malignone praesagio an naturali appetentia illico convertuntnr et devorant.*

ubi vero sensere venantem (erinacei), *contracto et ore pedibusque ac parte omni inferiore qua raram et innocuam habent lanuginem, convolvuntur in formam pilae, ne quid comprehendi possit praeter aculeos* (cf. Ael. 6, 54). *in desperatione vero urinam ex se reddunt tabificam tergori suo spinisque noxiam. propter hoc se capi gnari. quamobrem exinanita prius urina venari ars est. et tum praecipua dos tergori alias corrupto fragili, putribus spinis atque deciduis, etiamsi vivat subtractus fuga. ob id non nisi in novissima spe ma-*

5.

[*Λέγει μὲν οὖν Εὐριπίδης δυσώνυμον ὄντα τὸν φθόνον·*] *οὗτος δὲ ἄρα ἐνοικεῖ καὶ τῶν ζώων ἔστιν οἷς. ὁ γοῦν* γαλεώτης, *ὥς φησι Θεόφραστος, ὅταν ἀποδύσηται τὸ γῆρας, ἐπιστραφεὶς εἶτα μέντοι καταπιὼν ἀφανίζει αὐτό· δοκεῖ δὲ ἐπιλήψεων εἶναι τὸ γῆρας τὸ τοῦδε τοῦ ζώου ἀντίπαλον. οἶδε δὲ καὶ* ἔλαφος *τὸ δεξιὸν κέρας ἔχων εἰς πολλὰ ἀγαθὸν καὶ μέντοι κατορύττει τε αὐτὸ καὶ ἀποκρύπτει φθόνῳ τοῦ τοσούτων τινὰ ἀπολαῦσαι. ἴυγγας δὲ ἐρωτικὰς τῷ πώλῳ συντίκτουσα* ἵππος *οἶδεν· ταῦτά τοι καὶ ἅμα τῷ τεχθῆναι τὸ βρέφος ἥδε τὸ ἐπὶ τῷ μετώπῳ σαρκίον ἀπέτραγεν· ἱππομανὲς ἄνθρωποι καλοῦσιν αὐτό. καὶ οἱ γόητες τὰ τοιαῦτά φασιν ὁρμάς τινας ἑλκτικὰς εἰς μίξιν ἀκατάσχετον καὶ οἶστρον ἀφροδίσιον παρέχειν καὶ ἐξάπτειν· οὔκουν τὴν ἵππον ἐθέλειν ἀνθρώπους μεταλαγχάνειν τοῦ γοητεύματος τοῦδε ὥσπερ οὖν ἀγαθοῦ μεγίστου φθονοῦσαν. οὐ γάρ;* (Ael. 3, 17. cf. schol. Theocrit. 2, 48 p. 105, 16 Ahr. quod ex Aristotelis h. a. 6, 22 et Theophrasti testimoniis conflatum est et esse dicitur. ibi post Aristotelea habentur haec . . . *ἀποτρώγουσι . . . καὶ εἰ τοῦτο ποιήσωσι φιλοστοργοῦσι τὰ ἔκγονα· εἰ δὲ μή, ἀπεχθαίρουσι καὶ οὐ προσίενται. διὰ τὸ φυσικῶς οὖν συμβάλλεσθαί τι πρὸς φιλοστοργίαν οἱ ἱπποφορβοὶ ἀφαιροῦσιν αὐτὸ καὶ αἱ φαρμακίδες χρῶνται αὐτῷ πρὸς τὰ φίλτρα.* in fine ex altero scholio male confuso, cuius tamen idem fons fuit, denuo addita sunt verba: *ὅπερ συντελεῖ πρὸς τὰ φίλτρα, ὥς φησιν Ἀριστοτέλης καὶ Θεόφραστος.* cf. Phot. lex. p. 112, 2 Ox. s. *ἱππομανές: ᾧ χρῶνται πρὸς φίλτρον* [*αἱ φαρμακίδες* sc., ut addit

1.

οὐ διὰ φθόνον ταῦτα ποιεῖ τὰ ζῶα, ἀλλ' οἱ ἄνθρωποι ἐκ τῆς ἰδίας ὑπολήψεως ταύτην αὐτοῖς περιῆψαν τὴν αἰτίαν, παντὶ δῆλον. πόθεν γὰρ τοῖς ἀλόγοις ἡ τοιαύτη σοφία, ἣν καὶ οἱ λογικοὶ μετὰ συχνῆς μελέτης μανθάνουσιν; ἀλλ' ἡ μὲν φώκη διὰ τὸν φόβον ἴσως ταραττομένη ἐμεῖ τὴν πυτίαν, καὶ ὁ γαλεώτης καταπίνει τὸ δέρμα φυσικόν τι ποιῶν πάθος, καθάπερ οἱ κύνες καὶ αἱ ὕες καὶ σχεδὸν τὰ τετράποδα πάντα· κατεσθίει γὰρ τὰ χόρια μετὰ τοὺς τόκους. καὶ ὁ ἐχῖνος δὲ διὰ φόβον ἢ δι' ἄλλο τι πάθος φυσικὸν ἐνουρεῖ, ἀλλ' οὐχ ἵνα φθείρῃ τὸ δέρμα. πολλὰ δὲ καὶ ἄλλα πράττεται τοῖς ἀλόγοις ὧν οὐκ ἔχομεν λόγον ἀποδοῦναι, οἷον διὰ τί ἡ ὄρνις ὅταν τέκῃ περιρρίπτει τὰ κάρφη (cf. Ar. h. a. 6, 2. 560b7); διὰ τί οἱ κύνες ἐπαίροντες τὰ σκέλη προσουροῦσι (cf. Ar. h. a. 6, 20. 574, 17. b19); διὰ τί ἡ αἲξ ὅταν λάβῃ τὸ ἠρύγγιον εἰς τὸ στόμα, μένει καὶ τὰς ἄλλας ἵστασθαι ποιεῖ (cf. Ar. h. a. 9, 3. 610b29); καὶ τὸ τῆς λυγκὸς οὖν καὶ τὸ τῆς ἐλάφου ὁ αὐτὸς κατάλογος περιέξει.

2. 3.

ὁ λεγόμενος κερασβόλος καὶ ἀτεράμων ζήτησιν ἀεὶ παρεῖχεν, οὐχ ὅστις εἴη· δῆλον γὰρ ἦν ὅτι τῶν σπερμάτων τὰ προσπίπτοντα τοῖς τῶν βοῶν κέρασιν ἀτεράμονα τὸν καρπὸν ἐκφύειν νομίζοντες, οὕτως τὸν αὐθάδη καὶ σκληρὸν ἄνθρωπον ἐκ μεταφορᾶς κερασβόλον καὶ ἀτεράμονα προσηγόρευον· ἀλλὰ περὶ αὐτῆς διηπορεῖτο τῆς αἰτίας, καθ' ἣν τοῦτο πάσχει τὰ προσπίπτοντα τοῖς κέρασι τῶν βοῶν σπέρματα. καὶ πολλάκις ἀπειπάμεθα τοῖς φίλοις οὐχ ἥκιστα. Θεοφράστου δὲ αἰνιττομένου τὸν λόγον ἐν οἷς πολλὰ συναγήοχε καὶ ἱστόρηκε τῶν τὴν αἰτίαν ἀνεύρετον ἡμῖν ἐχόντων, οἷός ἐστιν ὁ τῶν ἀλεκτορίδων ὅταν τέκωσι περικαρφισμός, ἥ τε καταπίνουσα τὴν πυτίαν ἁλισκόμενη, καὶ τὸ κατορυσσόμενον ὑπὸ τῶν ἐλάφων κέρας, καὶ τὸ ἠρύγγιον ὃ μιᾶς αἰγὸς εἰς τὸ στόμα λαβούσης ἅπαν ἐφίσταται τὸ αἰπόλιον (cf. Plut. de sera num. vind. 14: δι' ἣν αἰτίαν αἰγὸς τὸν ἠρυγγίτην λαβούσης εἰς τὸ στόμα, ὅλον ἐφίσταται τὸ αἰπόλιον ἄχρις ἂν ἐξέλῃ προσελθὼν ο αἰπόλος)· ἐν τούτοις γὰρ καὶ τὸ κερασβόλον τῶν σπερμάτων προτίθεται (tangit etiam de caus. pl. 4, 12, 13. cet. cf. not. ad Geopon. 2, 19, 4), πρᾶγμα πίστιν ἔχον ὅτι γίγνεται, τὴν δ' αἰτίαν ἔχον ἄπορον ἢ παγχάλεπον (Plut. qu. symp. 7, 2).

4.

leficio eo perfunditur, quippe et ipsi odere suum veneficium, ita parcentes sibi terminumque supremum opperientes, ut ferme ante captivitas occupet. calidae postea aquae aspersu revolvitur pila apprehensusque pes alter e posterioribus suspendiosa fame necat. aliter non est occidere et tergori parcere (Plin. 8, 56).

Lyncum humor ita redditus ubi gignuntur glaciatur arescitve in gemmas carbunculis similes et igneo colore fulgentes, lyncurium vocatas, atque ob id sucino a plerisque ita generari prodito. novere hoc sciuntque lynces et invidentes urinam terra operiunt eoque celerius solidatur illa (Plin. 8, 57. cf. 28, 32. 37, 13). — *In hoc animalium genere nominantur et lynces, quarum urinas coire in duritiem pretiosi calculi fatentur qui naturas lapidum exquisitius sunt persecuti. istud etiam ipsas lynces persentiscere hoc documento probatur, quod egestum liquorem illico arenarum tumulis quantum valent contegunt, invidae scilicet ne talis egeries transeat in nostrum usum, ut Theophrastus perhibet* (immo commemorat ut refutet). *lapidi isti ad sucinum color est, pariter spiritu attrahit propinquantia, dolores renum placat, medetur regio morbo* (cf. Plin. 37, 13), *Graece lyncurium dicitur* (Solin. c. 2, 38—39).

5.

Hesychius s. v.]. *Θεόφραστος ὅτι φθονερὰ ζῶα* [cod. *ἱππόστρατος οφθορα ζῶα* quibus quidem propius accedit *Σώστρατος*] *γαλεώτης καταπίνων τὸ γῆρας φάρμακον ὂν ἐπιλήπτων, καὶ ἔλαφος τὸ δεξιὸν κέρας ἐνορύττων ὅτι εἰς πολλὰ χρήσιμον, καὶ ἵππος* [add. *ἀπεσθίων*] *τῶν πώλων τὸ ἱππομανές· χρήσιμον γὰρ πρὸς φίλτρον.* Theophrastea eadem ac schol. Theocr. solennibus verborum ambagibus profert Ael. 14, 18). *Φώκη δέ, ὡς ἀκούω, τὴν πυτίαν τὴν ἑαυτῆς ἐξεμεῖ, ἵνα μὴ τοῖς ἐπιλήπτοις ᾖ ἰᾶσθαι. βάσκανον δὴ τὸ ζῶον ἡ φώκη, ναὶ μὰ τόν* (Ael. 3, 19). *Ἓν τῶν βασκάνων ζώων μέντοι καὶ ἐχῖνος ὁ χερσαῖος εἶναι πεπίστευται. ὅταν γοῦν ἁλίσκηται, παραχρῆμα ἐνούρησε τῷ δέρματι καὶ ἀχρεῖον ἀπέφηνεν αὐτό· δοκεῖ δὲ εἰς πολλὰ ἐπιτήδειον. καὶ ἡ λύγξ δὲ ἀποκρύπτει τὸ οὖρον· ὅταν γὰρ παγῇ, λίθος γίνεται καὶ γλυφαῖς ἐπιτήδειός ἐστι καὶ τοῖς γυναικείοις κόσμοις συμμάχεται, φασί, διὰ τῆς γλυφῆς* (Aelian. 4, 17).

De charadrio cf. supra p. 352.

V.

Περὶ τῶν ἐν τῷ ξηρῷ διαμενόντων.

1.

Th. textus nunc etiam, etsi non integre, servatus *περὶ ἰχθύων*:

θαυμασιώτατον δὲ εἴπερ ἀληθὲς τὸ τοῦ ἐξωκοίτου καλουμένου· τοῦτον γάρ φασιν ὁσημέραι ποιεῖσθαι τὴν κοίτην ἐν τῇ γῇ, διὸ καὶ τοὔνομα εἰληφέναι (s. 1) . . .

τὰ δ' ἐν Ἰνδοῖς ἰχθύδια τὰ ἐκ τῶν ποταμῶν εἰς τὴν γῆν ἐξιόντα καὶ πηδῶντα καὶ πάλιν εἰς τὸ ὕδωρ ἀπιόντα καθάπερ οἱ βάτραχοι, θαυμαστά (s. 2. hunc locum e Th. cit. Athen. VIII p. 332) . . . *εἰσὶ δὲ καὶ περὶ Βαβυλῶνά τινες, οὕς φασι διαμένειν ἐν ταῖς τρώγλαις ταῖς ἐχούσαις ὑγρότητα ξηραινομένου τοῦ ποταμοῦ· τούτους δ' ἐξιόντας νέμεσθαι καὶ βαδίζειν ἐπὶ τῶν πτερυγίων καὶ ἅμα κινεῖν τὴν οὐράν· καὶ ὅταν διώκωνται φεύγειν καὶ εἰσδύντας ἀντιπροσώπους ἵστασθαι· πολλάκις γὰρ προσιέναι τινὰς καὶ ἐρεθίζειν. ἔχουσι δὲ τὴν μὲν κεφαλὴν ὁμοίαν βατράχῳ θαλαττίῳ, τὸ δ' ἄλλο σῶμα κωβιῷ, βράγχια δ' ὥσπερ καὶ οἱ ἄλλοι ἰχθύες* (s. 2) . . .

e sect. 4 Theophrasti duo loci citantur ab Athen. VII p. 317 et VII p. 312 (*ἐν τῷ πέμπτῳ περὶ τῶν ἐν τῷ ξηρῷ διαιτωμένων*).

οἱ δ' ὀρυκτοὶ τῶν ἰχθύων· εἰσὶ γὰρ ἐνιαχοῦ καὶ τοιοῦτοι καθάπερ περὶ Ἡράκλειαν καὶ ἄλλοθι τῶν ἐν τῷ Πόντῳ (cit. Athen. VIII p. 331)·

2.

Ἐν Ἰνδοῖς ἐν τῷ Κέρατι καλουμένῳ ἰχθύδια φασὶ γίνεσθαι, ἃ ἐν τῷ ξηρῷ πλανᾶται καὶ πάλιν ἀποτρέχει εἰς τὸν ποταμόν (Ar. mir. 71).

Φασὶ δὲ καὶ περὶ Βαβυλῶνά τινες ἰχθύας τινὰς μένειν ἐν ταῖς τρώγλαις ταῖς ἐχούσαις ὑγρότητα ξηραινομένου τοῦ ποταμοῦ· τούτους ἐξιόντας ἐπὶ τὰς ἅλως νέμεσθαι καὶ βαδίζειν ἐπὶ τῶν πτερύγων καὶ ἀνακινεῖν τὴν οὐράν· καὶ ὅταν διώκωνται φεύγειν καὶ εἰσδύντας ἀντιπροσώπως ἵστασθαι· πολλάκις γὰρ προσιέναι τινὰς καὶ ἐρεθίζειν. ἔχουσι δὲ τὴν κεφαλὴν ὁμοίαν βατράχῳ θαλαττίῳ, τὸ δὲ ἄλλο σῶμα κωβιῷ, βράγχια δὲ ὥσπερ καὶ οἱ ἄλλοι ἰχθύες (Ar. mir. 72).

Ἐν Ἡρακλείᾳ δὲ τῇ ἐν τῷ Πόντῳ καὶ περὶ Τίον (ita scr. ex Athen. VIII p. 331. codd. *καὶ ῥηγίῳ* s. *ῥυγίω* s. *ῥυθίω*) *γίνεσθαί φασιν*

3.

Miratur et [Arcadia suum] exocoetum appellatum ab eo quod in siccum somni causa exeat (Plin. 9, 34. idem tradidit Clearchus ἐν τῷ περὶ τῶν ἐνύδρων, unde Athen. VIII p. 332. sequitur apud Plinium Clearchi locus, qui item ap. Ath. VIII p. 332, de Ladonis pisce vocali cum altero eiusdem illo de exocoeto — *idem aliquis adonis dictus* — confusus. ad Ladonem pertinet Arcadiae nomen quod in Theophrasti testimonium male transtulit Plinius, qui haec omnia ita coniuncta in Latino quodam auctore repperit, descripsit, confudit).

Exeunt in terram et qui marini mures vocantur et polypi et murenae (cf. Th. s. 1 et 3), *quin et in Indiae fluminibus certum genus piscium ac deinde resilit.* [*nam in stagna et amnes transeundi plerisque evidens ratio est* (cf. eadem apud Plut. de sol. an. 32 et Aelian. 9, 59) *ut tutos fetus edant, quia non sint ibi qui devorent partus fluctusque minus saeviant* (Plin. 9, 35).

Piscium genera etiamnum a Theophrasto mira produntur: circa Babylonis rigua decedentibus fluviis in cavernis aquas habentibus remanere quosdam, inde exire ad pabula pinnulis gradientes crebro caudae motu contraque venantes refugere in suas cavernas et in iis

4.

Θεόφραστος δὲ δαιμονιώτατα λέγει ἐν τῇ Βαβυλωνίᾳ γῇ τοὺς ἰχθῦς ἀνιόντας ἐκ τοῦ ποταμοῦ εἶτα μέντοι ἐν τῷ ξηρῷ τὰς νομὰς ποιεῖσθαι πολλάκις (Aelian. 5, 27).

1.

γίνονται μὲν καὶ παρὰ τοὺς ποταμοὺς καὶ τὰ ἔνυδρα χωράφια. συμβαίνει δ' ἀναξηραινομένων τούτων ἐγκαταλειπομένους κατὰ μικρὸν συστέλλεσθαι καὶ διώκοντας τὴν ὑγρότητα δύεσθαι κατὰ τῆς γῆς, εἶτα καταξηραινομένης διαμένειν ἐν τῇ ἰκμάδι καθαπερανεὶ ταριχευομένους ἐν τῷ ζῆν ἢ (corr. *ὡς*) *καὶ τοὺς ἐν ταῖς φωλείαις διαναρκῶντας* (*διαρκοῦντας* cod. Vat.)· *ὅταν δ' ἀνασκάπτωνται, τότε κινεῖσθαι* (s. 7). *παραπλήσιον δ' ἐστὶ τούτῳ καὶ τὸ ἐπὶ τῶν ἐκπηγνυμένων ἐν τῷ Πόντῳ* (etc. s. 8. = Th. ap. Ath. VIII p. 331. Plin. 9, 83, 177 qui itidem de piscibus circa Heracleam *περὶ τὸν Λύκον ποταμόν* habet quae e Th. sect. 8—9 contracta sunt).

ἴδιον δὲ παρὰ ταῦτα (haec etiam citat Athen. VIII p. 331) *καὶ λόγου δεόμενον τὸ περὶ τοὺς ἐν Παφλαγονίᾳ ὀρυκτοὺς ἰχθῦς* (de quibus famam ab Eudoxo accepisse Theophrastum Strabo docet 12 p. 562 extr.)· *ὀρύττεσθαι γάρ φασιν ἐκεῖ κατὰ βάθους πλείονος ἀγαθοὺς καὶ πολλούς, τὸν δὲ τόπον οὔτ' ἐπίκλυσιν ποταμοῦ λαμβάνειν οὔθ' ὕδατος σύστασιν, ἀφ' ὧν δή φαμεν ἐγκαταλείπεσθαι τὰ ᾠὰ καὶ τὰς ἀρχὰς τῆς γενέσεως. λοιπὸν γὰρ δὴ αὐτομάτους φύεσθαι* (s. 11) ...

2.

ὀρυκτοὺς ἰχθῦς, τούτους δὲ μάλιστα κατὰ τὰ ποτάμια καὶ τὰ ἔνυδρα χωρία. συμβαίνειν δέ ποτε ἀναξηραινομένων τῶν χωρίων κατά τινας χρόνους συστέλλεσθαι κατὰ γῆς, εἶτα μᾶλλον ἀναξηραινομένης διώκοντας τὴν ὑγρότητα διίεσθαι εἰς τὴν ὕλην, εἶτα ξηραινομένης διαμένειν ἐν τῇ ἰκμάδι, ὥσπερ τὰ ἐν ταῖς φωλεαῖς διαρκοῦντα· ὅταν δὲ ἀνασκάπτωνται πρὶν ἢ τὰ ὕδατα ἐπιγενέσθαι, τότε κινεῖσθαι (Ar. mir. 73).

Φασὶ δὲ καὶ περὶ Παφλαγονίαν τοὺς ὀρυκτοὺς γίνεσθαι ἰχθῦς κατὰ βάθους, τούτους δὲ τῇ ἀρετῇ ἀγαθούς, οὔτε ὑδάτων φανερῶν πλησίον ὄντων οὔτε ποταμῶν ἐπιρρεόντων ἀλλ' αὐτῆς ζωογονούσης τῆς γῆς (Ar. mir. 74).

3.

obversos stare. capita eorum esse ranae marinae similia, reliquas partes gobionum, branchias ut ceteris piscibus (175). *circa Heracleam et Cromnam et Lycum et multifariam in Ponto unum genus esse, quod extremas fluminum aquas sectetur cavernasque sibi faciat in terra atque in his vivat, etiam reciprocis amnibus siccato litore. effodi ergo. motu demum corporum vivere eos approbant* (Plin. 9, 83, 175–76. sq. 177: *circa Heracleam eandem eodemque Lyco amne decedente* etc. = Th. s. 8—9. ibidem deinde: *eadem in Ponti regione apprehendi glacie piscium maxime gobiones* etc. = Th. s. 8 in.).

Idem (*Theophrastus*) *tradit in Paphlagonia effodi pisces gratissimos cibis, terrenos, altis scrobibus in his locis, in quibus nullae restagnent aquae, miratusque et ipse gigni sine coitu humoris quidem vim aliquam inesse quam* (*aequam* corr. Sillig) *puteis arbitratur* (Plin. 9, 83, 178).

4.

... inde, ut Theophrastus affirmat, pisces quibusdam locis eruuntur (Seneca qu. nat. 3, 16. antea de talpis sermo est, ut apud Plin. 9, 178).

VI.

Περὶ τῶν μεταβαλλόντων τὰς χρόας.

[Aristot. fr. 323.]

1.

2.

Θαυμαστὰ δὲ καὶ τὰ τοῖς τόποις συναφομοιούμενα, οἷον ὅ τε πολύπους· γίνεται γὰρ ἀδιάγνωστος τῷ χρώματι καὶ παντὸς ᾧ ἂν περιπλακῇ, ὥστε εἶναι δύσεργον αὐτοῦ τὴν θήραν. ὅθεν δηλονότι καὶ ὁ ποιητὴς τὸ θρυλλούμενον ἔγραψεν «πουλύποδος ὡς τέκνον ἔχειν ἐν στήθεσι θυμόν, τοῖσιν ἐφαρμόζειν». γίνεται δὲ ταὐτὸν καὶ περὶ τὸν χαμαιλέοντα· καὶ γὰρ τοῖς στελέχεσι τῶν δένδρων καὶ τοῖς φύλλοις καὶ τῇ γῇ τὸν αὐτὸν τρόπον ἅπαντι τόπῳ συμμεταβάλλει τὴν χροιάν.

3.

[*Colorem mutat (polypus) ad similitudinem loci et maxime in metu* (Plin. 9, 46 ex Arist. hist. an. 9, 37 p. 622, 9)].

Ipse (chamaeleon) celsus hianti semper ore solus animalium nec cibo nec potu alitur nec alio quam aeris alimento, circa caprificos ferus, innoxius alioqui. et coloris natura mirabilior. mutat namque eum subinde et oculis et cauda et toto corpore redditque semper quemcunque proxime attingit praeter rubrum candidumque (cf. Plut. qu. nat. 19 extr.). *defuncto pallor est* (Plin. 8, 51 ubi descriptioni Aristotelicae ex hist. an. 2, 11 petitae haec ex Theophrasto interposita leguntur, eorum loco quae habet Ar. p. $503^{b}2$—8).

4.

. . . οἷα τὸν χαμαιλέοντα καὶ τὸν πολύποδα· τὸν μέν γε φασὶ τὴν χρόαν ἀλλάττοντα τοῖς ἐδάφεσιν ὁμοιοῦσθαι καθ᾽ ὧν εἴωθεν ἕρπειν, τὸν δὲ ταῖς κατὰ θαλάττης πέτραις ὧν ἂν περιδράξηται, τάχα που τῆς σωτηρίου φύσεως (cf. Ael. 2, 14) ἀλεξίκακον συλλήψεως δωρησαμένης τὴν εἰς τὸ πολυχρώματον αὐτοῖς τροπὴν φάρμακον . . .

5.

Διὰ τί τὴν χροίαν ο πολύπους ἐξαλλάττει; πότερον, ὡς Θεόφραστος ᾤετο, δειλόν ἐστι φύσει ζῷον; ὅταν οὖν ταραχθῇ τρεπόμενον τῷ πνεύματι συμμεταβάλλει τὸ χρῶμα, καθάπερ ἄνθρωπος· διὸ καὶ λέλεκται «τοῦ μὲν γάρ γε κακοῦ τρέπεται χρώς». ἢ τοῦτο πρὸς τὴν μεταβολὴν πιθανῶς λέλεκται, πρὸς δὲ τὴν ἐξομοίωσιν οὐχ ἱκανῶς; μεταβάλλει γὰρ οὕτως ὥστε τὴν χροίαν αἷς ἂν πλησιάζῃ πέτραις ὁμοιοῦν· πρὸς ὃ καὶ Πίνδαρος ἐποίησε «ποντίου θηρὸς χρωτὶ μάλιστα νόον προσφέρων πάσαις πολίεσσιν ὁμίλει» καὶ Θέογνις «πουλύποδος νόον ἴσχε πολυχρόου ὃς ποτὶ πέτρῃ, τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη» (Plut. qu. nat. 19, qui causam deinde ad Empedoclis et ἀπορροιῶν doctrinam uberius — e Theophrasto — explicat. cf. Plut. de amic. mult. 9.

6.

ἱστορεῖται δὲ καὶ ὅτι φεύγων (ὁ πολύπους) διὰ τὸν φόβον μεταβάλλει τὰς χρόας καὶ ἐξομοιοῦται τοῖς τόποις ἐν οἷς κρύπτεται, ὡς καὶ ὁ Μεγαρεὺς Θέογνίς φησιν ἐν ταῖς ἐλεγείαις «πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ, τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.» [ὁμοίως ἱστορεῖ καὶ Κλέαρχος ἐν β̄ περὶ παροιμιῶν παρατιθέμενος τάδε τὰ ἔπη, οὐ δηλῶν ὅτου ἐστί «πουλύποδός μοι, τέκνον, ἔχων νόον, Ἀμφίλοχ᾽ ἥρως, τοῖσιν ἐφαρμόζειν, τῶν κεν κατὰ δῆμον ἵκηαι»]. (Athen. VII p. 316. cf. XII p. 513.)

Θεόφραστος δὲ ἐν τῷ περὶ τῶν μεταβαλλόντων τὰς χρόας τὸν πολύποδά φησι τοῖς πετρώδεσι μάλιστα μόνοις (τόποις corr. Stephanus. μνίοις parum caute Meineke. Ar. 9, 37. 622, 8 καὶ θηρεύει τοὺς ἰχθῦς τὸ χρῶμα μεταβάλλων καὶ ποιῶν

1.

Ἐν δὲ Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς φασὶ θηρίον τι γίνεσθαι σπάνιον μὲν ὑπερβολῇ, ὃ ὀνομάζεται τάρανδος. λέγεται δὲ τοῦτο μεταβάλλειν τὰς χρόας τῆς τριχὸς καθ' ὃν ἂν καὶ τόπον ᾖ. διὰ δὲ τοῦτο εἶναι δυσθήρατον [καὶ διὰ τὴν μεταβολήν]· καὶ γὰρ δένδρεσι καὶ τόποις καὶ ὅλως ἐν οἷς ἂν ᾖ τοιοῦτον τῇ χροίᾳ γίνεσθαι. θαυμασιώτατον δὲ τὸ τὴν τρίχα μεταβάλλειν· τὰ γὰρ λοιπὰ τὸν χρῶτα, οἷον ὅ τε χαμαιλέων καὶ ὁ πολύπους. τὸ δὲ μέγεθος ὡσανεὶ βοῦς, τοῦ δὲ προσώπου τὸν τύπον ὅμοιον ἔχει ἐλάφῳ (Ar. mir. 30).

2.

Ἀριστοτέλης (323) δέ φησι καὶ τὸν καλούμενον τάρανδον τοῦτο πάσχειν ὄντα τετράπουν καὶ σχεδὸν ἴσον ὄνῳ καὶ παχύδερμον καὶ τετριχωμένον καὶ θαυμαστὸν εἶναι πῶς αἱ τρίχες οὕτως ὀξέως ἀλλοιοῦνται (Antig. mir. 25).

3.

Mutat colores et Scytharum tarandus [*nec aliud ex iis quae pilo vestiuntur, nisi in Indiis lycaon, cui iubata traditur cervix* (addita haec e Cornelii Nepotis de Aethiopia narratione, e qua hausit Mela 3, 9 qui ita *omni colore varii lycaones*. cf. Solin. c. 30, 24] ... *tarando magnitudo quae bovi est, caput maius cervino nec absimile, cornua ramosa, ungulae bifidae, villus magnitudine ursorum, sed quum libuit sui coloris esse asini similis, tergori tanta duritia ut thoraces ex eo faciant. colorem omnium arborum, fruticum, florum locorumque reddit metuens in quibus latet. ideo raro capitur. mirum esset habitum corpori tam multiplicem dari, mirabilius et villo* (Plin. 8, 52. cf. Solin. c. 30).

4.

... φασὶ μέντοι καὶ ἐν Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς θαυμασιώτατόν τι γίνεσθαι, σπανίως μὲν γίνεσθαι δ' ὅμως, θηρίον ὃ καλεῖται τάρανδος, μέγεθος μὲν βοὸς οὐκ ἀποδέον, ἐλάφῳ δὲ τὸν τοῦ προσώπου τύπον ἐμφερέστατον. λόγος ἔχει τοῦτο μεταβάλλειν ἀεὶ τὰς τρίχας πρός τε τὰ χωρία καὶ τὰ δένδρα καὶ πάνθ' ἁπλῶς οἷς ἂν ἐγγὺς ἵστηται, ὡς διὰ τὴν τῆς χρόας ὁμοιότητα λανθάνειν τοὺς ἐντυγχάνοντας καὶ ταύτῃ μᾶλλον ἢ τῇ περὶ τὸ σῶμα ἀλκῇ δυσθήρατον εἶναι (Philo π. μέθης t. I p. 383 Mang.).

5.

Plin. 11, 91: *nam quae mutare diximus colorem alienum accipiunt quodam repercussu, homo solus in se mutat*).

... τῶν δὲ πολυπόδων τῆς χρόας τὴν ἄμειψιν ὅ τε Πίνδαρος περιβόητον πεποίηκεν εἰπὼν «ποντίου... ὁμίλει» καὶ Θέογνις ὁμοίως «πουλύποδος ... ἐφάνη». μεταβάλλει γὰρ ὁ χαμαιλέων οὐδέν τι μηχανώμενος οὐδὲ κατακρύπτων ἑαυτόν, ἀλλ' ὑπὸ δέους ἄλλως τρέπεται φύσει ψοφοδεὴς ὢν καὶ δειλός. συνέπεται δὲ καὶ πνεύματος πλῆθος, ὡς Θεόφραστος (= Phot. 525 b 17—21)· ὀλίγου γὰρ ἀποδεῖ πᾶν τὸ σῶμα τοῦ ζώου πλῆρες εἶναι πνεύμονος, ᾧ τεκμαίρεται τὸ πνευματικὸν αὐτοῦ καὶ διὰ τοῦτο πρὸς τὰς μεταβολὰς εὔτρεπτον. τοῦ δὲ πολύποδος ἔργον ἐστίν, οὐ πάθος ἡ μεταβολή· μεταβάλλει γὰρ ἐκ προνοίας, μηχανῇ χρώμενος τοῦ λανθάνειν ἃ δέδιε καὶ λάμβάνειν οἷς τρέφεται· παρακρουόμενος γὰρ αἱρεῖ τὰ μὴ φεύγοντα, τὰ δ' ἐκφεύγει παρερχόμενα (Plut. de sol. an. 27, inter Aristotelea).

6.

ὅμοιον οἷς ἂν πλησιάζῃ λίθοις. τὸ δ' αὐτὸ τοῦτο ποιεῖ καὶ φοβηθείς. cf. p. a. 4, 5. 679, 13. Th. ap. Phot. 525, 34: φυτοῖς καὶ τόποις καὶ λίθοις οἷς ἂν πλησιάσωσι. vid. d'Orbigny, Céphalop. p. 8. Verany, Céph. de la Méd. p. 19) συνεξομοιοῦσθαι, τοῦτο ποιοῦντα φόβῳ καὶ φυλακῆς χάριν (Athen. VII p. 317).

Ἐρυθήματα εἴ ποτε ἐπανατέλλει καὶ ὠχρίασις καὶ γενέσθαι πελιδνὸν καὶ ἀνθρώπῳ ταῦτα καὶ θηρίοις, ἀλλὰ ἐπὶ ψιλῆς τῆς δορᾶς καὶ τριχῶν γυμνῆς, θαυμαστὸν οὐδέν· τάρανδος δὲ τὸ ζῶον, ἀλλ' οὗτός γε θριξὶν αὐταῖς τρέπει ἑαυτὸν καὶ πολύχροιαν ἐργάζεται μυρίαν ὡς ἐκπλήττειν τὴν ὄψιν. ἔστι δὲ Σκύθης καὶ τὰ νῶτα παραπλήσιος ταύρῳ καὶ τὸ μέγεθος. τούτου τοι καὶ τὴν δορὰν ἀγαθὴν ἀντίπαλον αἰχμῇ ταῖς αὐτῶν ἀσπίσι περιτείναντες νοοῦσι καὶ οἱ Σκύθαι (Ael. 2, 16). cum ultimis cf. Phot. 525b8. Plin. 8, 52 et Hesych. s. τάρανδος: ζῶον ἐλάφῳ παραπλήσιον, οὗ ταῖς δοραῖς εἰς χιτῶνας χρῶνται Σκύθαι.

VII.

Περὶ τῶν φωλευόντων.

(cf. Arist. hist. an. 8, 13 p. 599, 4—8, 17. Pseudarist. mir. 63—67.)
[Ar. fr. 324.]

1.

Pseudarist. mir. 63: *Ἐν τῷ Πόντῳ λέγουσι τοῦ χειμῶνος τῶν ὀρνίων τινὰ εὑρίσκεσθαι φωλεύοντα οὔτε ἀφοδεύοντα, οὔτε δὲ ὅταν τὰ πτερὰ αὐτῶν τίλλωσιν αἰσθάνεσθαι, οὔτε ὅταν ἐπὶ τὸν ὀβελίσκον ἀναπαρῇ, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς διακαυθῇ. πολλοὺς δὲ καὶ τῶν ἰχθύων λέγουσι περικοπέντας καὶ περιτμηθέντας μὴ αἰσθάνεσθαι, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς διαθερμανθῶσιν.*

Quorum alterum tangit etiam in l. de piscibus c. 8: *παραπλήσιον δ' ἐστὶ τούτῳ καὶ τὸ ἐπὶ τῶν ἐκπηγνυμένων* (sc. *ἰχθύων*) *ἐν τῷ Πόντῳ ὅταν περιλαμβάνωνται τῷ κρυστάλλῳ· καὶ οὐ πρότερον αἰσθάνονται καὶ κινοῦνται πρὶν εἰς τὰς λοπάδας ἐμβληθῆναι καὶ ἕψεσθαι.*

2.

Plinius 8, 59: *ergo in hiemes aliis provisum pabulum, aliis pro cibo somnus. serpentium vipera sola terra dicitur condi* (hic aut suo aut fontis errore contrarium dicit Plinius atque Aristoteles h. a. 8, 15. 599, 33 quem secutus est Theophrastus), *ceterae arborum aut saxorum cavis. et alias vel annua fame durant, algore modo dempto. omnia secessus tempore veneno orba dormiunt. simili modo et cocleae* (cf. Ar. 8, 13. 599, 16), *illae quidem iterum et aestatibus, adhaerentes maxime saxis, aut etiam iniuria resupinatae avulsaeque, non tamen exeuntes.*

Athen. II p. 63: *Θεόφραστος δὲ ἐν τῷ περὶ φωλευόντων «οἱ κοχλίαι, φησί, φωλεύουσι μὲν καὶ τοῦ χειμῶνος, μᾶλλον δὲ τοῦ θέρους. διὸ καὶ πλεῖστοι φαίνονται τοῖς μετοπωρινοῖς ὕδασιν. ἡ δὲ φωλεία τοῦ θέρους καὶ ἐπὶ τῆς γῆς καὶ ἐπὶ τῶν δένδρων».*

Cf. Ar. 8, 15: *φωλεῖ δὲ καὶ τῶν ἐναίμων πολλά, οἷον τά τε φολιδωτὰ ὄφεις τε καὶ σαῦροι καὶ ἀσκαλαβῶται καὶ κροκόδειλοι οἱ ποτάμιοι, τέτταρας μῆνας τοὺς χειμεριωτάτους, καὶ οὐκ ἐσθίουσιν οὐδέν*

οἱ μὲν οὖν ἄλλοι ὄφεις ἐν τῇ γῇ φωλοῦσιν, αἱ δ' ἔχιδναι ὑπὸ τὰς πέτρας ἀποκρύπτουσιν ἑαυτάς. 8, 10: *τὰ μὲν γὰρ ὀστρακόδερμα πάντα φωλεῖ . . . φωλοῦσι δ' οὐ τὴν αὐτὴν ὥραν, ἀλλ' οἱ μὲν κοχλίαι τοῦ χειμῶνος, αἱ δὲ ...*

2 b. (324)

Schol. Hom. Il. cod. B. χ, 93 (*ὡς δὲ δράκων ἐπὶ*) *χειῇ* (*ὀρέστερος ἄνδρα μένησιν βεβρωκὼς κακὰ φάρμακ' · ἔδυ δέ τέ μιν χόλος αἰνός, σμερδαλέον δὲ δέδορκεν ἑλισσόμενος περὶ χειῇ. ὣς Ἕκτωρ* et.): *ἐπὶ μὲν τῶν ἄλλων ζώων ξυλόχους τε καὶ εὐνάς φησι . . . νῦν δὲ χειὰν τὴν αὐτὸν μόνον χωροῦσαν καὶ τρόπον τινὰ ἔλυτρον αὐτοῦ οὖσαν* (cod. A: *ἡ διπλῆ ὅτι τὴν τῶν ὄφεων κατάδυσιν χειὰν εἴρηκεν ἀπὸ τοῦ χεῖσθαι, ὅ ἐστι χωρῆσαι* etc. cf. Athen. XI p. 477 = Hesych. s. *χειά: ἡ κατάδυσις τῶν ὄφεων καὶ δρακόντων.* Etym. M. p. 809, 50) ... *ἢ ὅτι δίκην ὕδατος ἐκχεῖται εἰς αὐτὴν τὸ θηρίον. ἀγριώτερα δὲ τὰ ἐν ἐρήμῳ γεννώμενα. φησὶ δὲ καὶ ἐν τῷ ϛ̄* (corr. *ζ̄*) *περὶ ζώων Ἀριστοτέλης ἐσθίοντα αὐτὸν μύρμηκας καὶ κανθαρίδας μετὰ τὴν φώλευσιν ἰοῦ πληροῦσθαι πλείονος τοῦ ἐμφύτου καὶ ἐρεθίζεσθαι καὶ λυσσᾶν ἐπιθυμοῦντά που ἀπομάξασθαι τὸν ἐνοχλοῦντα ἰόν* (haec repetit Eustath. ad Il. p. 1259. cf. Ael. n. a. 6, 4).

Quae quum in historia animalium ad quam reliqui huius argumenti scholiorum loci omnes pertinent, non reperiantur (cf. p. 607, 27 et Theophr. *π. τ. δακ.* fr. 4), ex Alexandrina eruditione antiquitus recepta Aristotelis sive Theophrasti librorum *περὶ ζώων* septimum *περὶ τῶν φωλευόντων* spectare statuo. eundem fortasse innuit Polycletus a Porphyrio citatus in schol. ad Il. *φ.* 126. 571^b^42: *τοῦ γοῦν χειμῶνος ἐκ τοῦ πελάγους εἰς τὴν γῆν καταίρουσιν οἱ ἰχθύες* (cf. Ar. h. a. 8, 13. 15)· *πολλοὺς δὲ αὐτῶν καὶ φωλεύειν κατὰ τοῦ βάθους διὰ τὴν αὐτὴν αἰτίαν* (sc. *διὰ τὸ ψῦχος*) *ἱστορεῖ καὶ ὁ Ἀριστοτέλης ἐν τῷ ἑβδόμῳ περὶ ζώων φύσεως.*

3.

Pseudaristot. mirab. 64: *Ἡ μέλιττα δοκεῖ τὰς τροπὰς σημαίνειν τῷ ἐπὶ τὰ ἔργα βαδίζειν, ᾧ καὶ οἱ μελιττοπόλοι σημείῳ χρῶνται· ἠρεμία γὰρ αὐτῶν γίνεται. δοκοῦσι δὲ καὶ οἱ τέττιγες ᾄδειν μετὰ τροπάς.*

Cf. Ar. 8, 14, 599, 23: *φωλεῖ δὲ* (sc. *τῶν ἐντόμων*) *τὰ μὲν πλείους ἡμέρας, τὰ δὲ τὰς χειμεριωτάτας, οἷον αἱ μέλιτται· καὶ γὰρ αὗται φωλοῦσιν . . . ἡσυχάζει δ' ἀπὸ πλειάδος δύσεως* (cf. Th. de signis 1, 7—8) *μέχρι τοῦ ἔαρος.* — *cicadae circa solstitium* (*maxime stri-*

dorem edunt) Plin. 11, 35, 107. cf. Ar. h. a. 8, 17. 601, 6—10: οἱ δὲ τέττιγες ὅταν ἐξέλθωσι, καθιζάνουσιν ἐπί τε τὰς ἐλαίας καὶ καλάμους. περιρραγέντος δὲ τοῦ κελύφους ἐξέρχονται ἐγκαταλιπόντες ὑγρότητα μικρὰν καὶ μετ' οὐ πολὺν χρόνον ἀναπέτονται καὶ ᾄδουσιν.

4.

Athenaeus VII p. 301 s. θύννος. τοῦτόν φησιν Ἀριστοτέλης (sequuntur tres loci excerpti ex hist. an. 8, 13. 598b19—21 et 8, 19. 602, 26—28 et 31—b1) . . . γίνεται δὲ ἐδώδιμος ὅταν τοῦ οἴστρου παύσηται. μίσγεται δὲ μετὰ τὴν φωλείαν, ὥς φησι Θεόφραστος. καὶ ἕως μὲν ἂν ἔχῃ μικρὰ τὰ κυήματα, δυσάλωτος, ὅταν δὲ μείζω γένηται, διὰ τὸν οἶστρον ἁλίσκεται. φωλεύει δ' ὁ θύννος καίτοι πολυαίματος ὤν.

Cf. Arist. h. a. 8, 15. 599b 8—17. ib. 20: κατὰ δὲ τὴν ἐαρινὴν ὥραν κινοῦνται καὶ προέρχονται πρὸς τὴν γῆν ὀχευόμεναι καὶ τίκτουσαι καὶ ἁλίσκονται κύουσαι· καὶ τότε δοκοῦσιν ὡραῖοι εἶναι, οἱ δὲ μετοπωρινοὶ καὶ χειμερινοὶ χείρους· ἅμα δὲ καὶ οἱ ἄρρενες φαίνονται πλήρεις ὄντες θοροῦ. ὅταν μὲν οὖν μικρὰ τὰ κυήματ' ἔχωσι, δυσάλωτοί εἰσιν, ὅταν δὲ μείζω, πολλοὶ ἁλίσκονται διὰ τὸ οἰστρᾶν (quae ultima aut ex Aristotele repetit Th. aut ad ipsum iam Aristotelem redit Athenaeus alius quippe auctoris copias retractans).

5.

Athen. VII p. 314: Θεόφραστος δ' ἐν τῷ περὶ φωλευόντων διὰ τὸ ψῦχός φησι τὴν νάρκην κατὰ γῆς δύεσθαι.

Plin. 9, 24: *praegelidam hiemem omnes (pisces) sentiunt* (quae sequuntur ex Ar. h. a. 8, 19. 601b29 sqq. et 8, 15. 599b2—8 ab auctore Plinii petita sunt) . . . *terra quidem* (cf. Ar. 599b26) *id est vado maris excavato condi per hiemes torpedinem, psettam, soleam tradunt.*

6.

Pseudarist. mir. 65: Φασὶ δὲ καὶ τὸν ἐχῖνον ἄσιτον διαμένειν ἄχρις ἐνιαυτοῦ.

Plin. 8, 56, 133: *praeparant hiemi et erinacei cibos ac volutati supra iacentia poma affixa spinis, unum amplius tenentes ore, portant in cavas arbores.* [*iidem mutationem aquilonis in austrum condentes se in cubile praesagiunt.* cf. Ar. 612b4. Th. de signis 2, 5. iam sequuntur apud Plinium quae retuli ad l. Th. de invidentibus.] Aelian. 3, 10: Ἐχῖνον τὸν χερσαῖον οὐκ ἄσοφον οὐδ' ἀμαθῆ ταμιείας τῆς ἐς τὴν χρείαν ἡ φύσις ἐποίησεν. ἐπεὶ γὰρ δεῖται τροφῆς διετησίου, τὰ δὲ

ὡραῖα οὐ πᾶσα ὥρα δίδωσιν, ἑαυτὸν ἐν ταῖς τρασιαῖς κυλίει, φασί, καὶ τῶν ἰσχάδων τὰς περιπαρείσας, αἳ πολλαὶ πήγνυνται (add. *ἐν*) *ταῖς ἀκάνθαις, ἡσυχῇ* (corr. *εἰς ὀχὴν*?) *κομίζει καὶ ἀποθησαυρίσας φυλάττει, καὶ ἔχει λαβεῖν ἐκ τοῦ φωλεοῦ ὅτε πορίσαι οὐχ οἷόν τε ἔξωθέν ἐστιν.*

6 b.

Plin. 8, 53: *hystrices generat India et Africa spina contectas ac erinaceorum genere, sed hystrici longiores aculei et quum intendit cutem, missilibus ora urgentium figit canum et paulo longius iaculatur* (cf. Ael. 12, 26). *hibernis autem se mensibus condit, quae natura multis et ante omnia ursis.*

Cf. Ar. h. a. 6, 30. 579, 29: *καὶ ἡ ὕστριξ δὲ φωλεύει καὶ κύει ἴσας ἡμέρας καὶ τἆλλα ὡσαύτως τῇ ἄρκτῳ.* item 8, 17. 600, 28: *τῶν δὲ ζῳοτόκων καὶ τετραπόδων φωλοῦσιν αἵ τε ὕστριχες καὶ αἱ ἄρκτοι.* illis deinde neglectis uberius hic, sicut Plinius, de ursis disputat, de quibus geminam quidem narrationem, at ex Theophrasto pleniorem habet Plinius. utramque in fr. 7 appono. — Ar. h. a. 9, 39. 623, 33: *ἢ τὰ βάλλοντα ταῖς θριξίν, οἷον αἱ ὕστριχες.* cf. Ael. 1, 31.

7.

Cf. Plutarch. Solon. c. 18: *πρῶτον μὲν οὖν τοὺς Δράκοντος νόμους ἀνεῖλε πλὴν τῶν φονικῶν ἅπαντας ... δεύτερον δὲ Σόλων ... ἔλαβε τὰ τιμήματα τῶν πολιτῶν καὶ τοὺς μὲν ἐν ξηροῖς ὁμοῦ καὶ ὑγροῖς μέτρα πεντακόσια ποιοῦντας πρώτους ἔταξε καὶ πεντακοσιομεδίμνους προσηγόρευσε· δευτέρους δὲ τοὺς ἵππον τρέφειν δυναμένους ἢ μέτρα ποιεῖν τριακόσια, καὶ τούτους ἱππάδα τελοῦντας ἐκάλουν· ζευγῖται δ' οἱ τοῦ τρίτου τιμήματος ὠνομάσθησαν, οἷς μέτρον ἦν συναμφοτέρων διακοσίων. οἱ δὲ λοιποὶ πάντες ἐκαλοῦντο θῆτες, οἷς οὐδεμίαν ἀρχὴν ἔδωκεν ἄρχειν, ἀλλὰ τῷ συνεκκλησιάζειν καὶ δικάζειν μόνον μετεῖχον τῆς πολιτείας.* eadem Pollux 8, 130 (ex quo desumtum est schol. in Plat. Remp. p. 415): *τιμήματα δ' ἦν τέτταρα, πεντακοσιομεδίμνων, ἱππέων, ζευγιτῶν, θητικῶν. οἱ μὲν ἐκ τοῦ πεντακόσια μέτρα ξηρὰ καὶ ὑγρὰ ποιεῖν κληθέντες ἀνήλισκον* [*δὲ* om. schol. Pl.] *εἰς τὸ δημόσιον* (quod *ἀναλίσκειν* Pollucis i. e. eius quem sequitur errore ita esse appellatum statuit Boeckh, Staatshaush. I, 653) *τάλαντον· οἱ δὲ τὴν ἱππάδα* (cf. Hesych. s. v.) *τελοῦντες ἐκ μὲν τοῦ δύνασθαι τρέφειν ἵππους κεκλῆσθαι δοκοῦσιν, ἐποίουν δὲ μέτρα τριακόσια, ἀνήλισκον δὲ ἡμιτάλαντον· οἱ δὲ τὸ ζευγήσιον* (cf. Hesych., Phot., Etym. M. s. v. et lex. Seg. 260, 33) *τελοῦντες ἀπὸ διακοσίων μέτρων κατελέγοντο, ἀνήλισκον δὲ μνᾶς δέκα· οἱ δὲ τὸ θητικὸν οὐδεμίαν ἀρχὴν ἦρχον οὐδὲ ἀνήλισκον οὐδέν.* haec omnia (apud Harp., Plut., Poll. et lex.) ex eodem auctore qui primus citaverat Aristotelem.

8ª. (345)

Photius lex. s. *πελάται: οἱ παρὰ τοῖς πλησίον ἐργαζόμενοι· καὶ θῆτες οἱ αὐτοὶ καὶ ἑκτήμοροι, ἐπειδὴ ἕκτῳ μέρει τῶν καρπῶν εἰργάζοντο τὴν γῆν* (ex eodem fonte Hesych. s. *ἑκτήμοροι: οἱ ἕκτῳ μέρει τὴν γῆν γεωργοῦντες*, et qui sedem fragmenti clarius indicat Plutarchus Solon. 13, ubi de rebus Atheniensium ante Solonem narrat: *ἅπας μὲν γὰρ ὁ δῆμος ἦν ὑπόχρεως τῶν πλουσίων· ἢ γὰρ ἐγεώργουν ἐκείνοις ἕκτα τῶν γινομένων τελοῦντες ἑκτημόριοι προσαγορευόμενοι καὶ θῆτες, ἢ χρέα λαμβάνοντες* etc. cf. Hesych. s. *ἐπίμορτος*): — iam sequitur altera apud Photium alterius lexici glossa *πελάται: οἱ μισθῷ δουλεύοντες, ἐπεὶ τὸ πέλας ἐγγύς, οἷον ἔγγιστα διὰ πενίαν προσιόντες. Ἀριστοτέλης.*

Utramque glossam ita habent Schol. in Euthyphr. p. 327 (ad p. 4: *ἐπεὶ ὅ γε ἀποθανὼν πελάτης τις ἦν ἐμὸς καὶ ὡς ἐγεωργοῦμεν ἐν τῇ*

Νάξῳ, ἐθήτευεν ἐκεῖ παρ' ἡμῖν): *πελάτης ὁ ἀντὶ τροφῶν ὑπηρετῶν* (cf. Suid. s. v. et similem explicationem v. *θῆτες* apud Phot. et Etym. M.) *καὶ προσπελάζων* (huc usque eadem ap. Tim. lex. s. v.), *ἀπὸ τοῦ πέλας ἤτοι ἐγγύς· ἐκαλεῖτο ὁ δι' ἔνδειαν προσιὼν μίσθιος δὲ ὑπηρετῶν. ἄλλως. πελάται εἰσὶν οἱ παρὰ τοῖς πλησίον ἐργαζόμενοι καὶ θῆτες. οἱ αὐτοὶ δὲ καὶ ἑκτήμοροι, ἐπεὶ τῷ ἕκτῳ μέρει τῶν καρπῶν εἰργάζοντο τὴν γῆν.* cf. Pollux IV, 165: *ἑκτημόριοι δὲ οἱ πελάται παρὰ τοῖς Ἀττικοῖς*, idemque III, 82: *πελάται δὲ καὶ θῆτες ἐλευθέρων ἐστὶν ὀνόματα διὰ πενίαν ἐπ' ἀργυρίῳ δουλευόντων.* fluxisse haec e Didymo videntur (cf. ad Syracus. pol. fr. — in Etym. Gud. p. 165, 58 *παρὰ Κρησὶ πελάται*, quod licet errore positum sit pro *κλαρῶται*, pelatarum in eadem disputatione partes fuisse ostendit). *προσπελάται* Arcadum, quos cum helotis compares, e Theopompo afferuntur apud Athen. VI p. 271.

9. (346)

Plutarch. Solon. c. 25: *ἰσχὺν δὲ τοῖς νόμοις πᾶσιν εἰς ἑκατὸν ἐνιαυτοὺς ἔδωκε· καὶ κατεγράφησαν εἰς ξυλίνους ἄξονας ἐν πλαισίοις περιέχουσι στρεφομένους, ὧν ἔτι καθ' ἡμᾶς ἐν πρυτανείῳ λείψανα μικρὰ διεσώζετο· καὶ προσηγορεύθησαν, ὡς Ἀριστοτέλης φησί* (sc. *ἐν τῇ Ἀθηναίων πολιτείᾳ* sicut addit schol. Aristoph. Av. 1354, Aristotelis ultra nudum testimonium nomenque Didymeis excerptis inepto loco insertum nihil retinens), *κύρβεις. καὶ Κρατῖνος ὁ κωμικὸς εἴρηκέ που* (cf. Meineke fr. com. II, 217) «*πρὸς τοῦ Σόλωνος καὶ Δράκοντος οἷσι νῦν φρύγουσιν ἤδη τὰς κάχρυς τοῖς κύρβεσιν*». *ἔνιοι δέ φασιν ἰδίως ἐν οἷς ἱερὰ καὶ θυσίαι περιέχονται κύρβεις, ἄξονας δὲ τοὺς ἄλλους ὠνομάσθαι.* quibus adde Harpocr. (ex quo Photius) s. *κύρβεις*: *Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. κύρβεις φησὶν Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν* (fr. 24. 25) *ἔχειν ἐγγεγραμμένους τοὺς νόμους* (cf. schol. Apollon. Rhod. 4, 280: *Ἀπολλόδωρος δέ φησιν πᾶσαν δημοσίαν γραφὴν καὶ νόμους κύρβιν καλεῖσθαι, ὅτι . . .*) . . . *Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶν «ἀναγράψαντες δὲ τοὺς νόμους εἰς τοὺς κύρβεις ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλείᾳ* (*βασιλίδι* cod. D et Phot.).»

Haec Plutarchum cum Müllero secutus et aoristo (*ἔστησαν*) fidem habens e Solonis apud Aristotelem historia sumta esse statui, licet suspicio orta sit plurali qui est apud Harpocrationem numero confirmata ad munus *γραμματέως* (*τῆς βουλῆς* cf. Poll. 8, 98 vel quod idem est *ὑπογραμματέως*, qualis narratur Nicomachus apud Lysiam or. 30, 2—3 cf. 13, 19, 25, 28—29, sc. *ἀναγραφεὺς* et *ταμίας τῶν νόμων* i. e. secundum eundem Lysiam inter *νόμους* et *θυσίας* minime distinguentem, *τῶν κύρβεων καὶ τῶν στηλῶν*,

de quibus v. §. 17) describendum non minus illa pertinuisse quam quae sequuntur apud Plutarchum de thesmothetarum iureiurando ad locum de archontibus (cf. Poll. 8, 86 et exc. Heraclid. p. 5): accedit quod eadem apud Pollucem memoratur *στοὰ βασίλειος*, in qua nimirum ipsae leges servantur in quas ibidem iurant archontes *ἐπὶ τοῦ λίθου ὑφ' ᾧ τὰ ταμιεῖα.* atque ibidem Andocidis etiam aetate leges fuisse positas docet illud *ἀναγράψαι ἐν τῇ στοᾷ* in or. de myst. 82. 85 sive ut est in ipso decreto Tisameni ib. 84, *εἰς τὸν τοῖχον ἵνα περ πρότερον ἀνεγράφησαν.* de qua re quae tradidit Anaximenes secundum Didymum (Harp. p. 136, 17. cf. Poll. 8, 128), ad alia tempora spectant nec cum Aristotelis loco comparari possunt. ceterum ex variis de axibus illis ligneis auctorum testimoniis (quae v. apud Preller. ad Polem. p. 87) haec saltem efficiuntur, antiquo *κύρβεων* vocabulo significari recentiorum *στήλας* (columnas lapideas), ita ut altero verbo addito alterum explicetur (*κύρβεις καὶ στῆλαι* coniunguntur apud Lysiam 30, 17, Platon. politic. p. 298, Theophr. ap. Porph. de abst. p. 138 Rhoer) easdemque columnas quae a forma vocantur *κύρβεις*, *ἄξονας* appellari propter proprium illud *περιστρέφεσθαι*. efficitur praeterea nullum discrimen inter *ἄξονας* et *κύρβεις* agnovisse auctores omnes qui ipsi oculis viderant, velut Aristoteles iste, Eratosthenes, Polemo, contra qui libris docebantur grammaticos Aristophanem aliosque et ipsum Didymum (Harp. 136, 14. 16) in coniecturam erroremque ductos esse: cuius ansam fortasse dedit ipse ille Lysiae locus citatus *τὰς θυσίας τὰς ἐκ τῶν κύρβεων καὶ τῶν στηλῶν* prae ceteris legibus commemorantis. Didymi librum *περὶ τῶν ἀξόνων τῶν Σόλωνος πρὸς Ἀσκληπιάδην* postquam in ipso vitae Solonis initio citavit, secutus esse videtur Plutarchus in ecloga illa et censura legum Solonearum (c. 19—24. cf. Diog. Laert. 1, 55—58) quae maxime essent mirabiles (*ἴδιοι μάλιστα καὶ παράδοξοι* cf. c. 20 in.). attamen ut hanc Didymi esse credo, ita Didymum ipsum verisimile est praecipue usum fuisse Demetrii Phalerei libro *περὶ τῆς Ἀθήνησι νομοθεσίας*: huius enim et Atheniensis (non Plutarchi) verba sunt quae leguntur c. 21 fin.: *ὧν τὰ πλεῖστα καὶ τοῖς ἡμετέροις νόμοις ἀπηγόρευται· πρόσκειται δὲ τοῖς ἡμετέροις ζημιοῦσθαι τοὺς ταῦτα ποιοῦντας ὑπὸ τῶν γυναικονόμων* etc. (cf. c. 23 = Dem. Phal. fr. 8 Müll. et de gynaeconomorum sec. Arist. pol. 1323, 4 cf. 1321^b7, 1322^b37 *ἀρχῇ οὐ δημοτικῇ* a Demetrio instituta quippe qui omnino in legislatione sua ad aristocratiam vergente ad Aristotelis Politicorum sententiam se conformaret, v. Boeckh, Ueber den Plan der Atthis des Philochoros p. 23, Abhdl. der Berl. Acad. 1832). atque eiusdem Demetrii apud Pollucem quoque vestigia sunt, ubi in libro *δικαστικῶν ὀνομάτων* ad recensionem illam et magistratuum

Atticorum et iudiciorum excurrit (8, 85—133) ex uno eodemque sine dubio auctore sumtam, non illo quidem ut volunt Aristotele sed eo qui et Aristotele et Theophrasto (π. νόμων cf. Poll. 8, 122 = Th. ap. Harp. s. Ἄρδηττος, ib. 8, 123 = Arist. fr. 80. 82) et Demetrio (8, 102. cf. 8, 53 et M. H. E. Meier ad lex. rhetor. fragm. Cantabrig. ed. Hal. 1844 p. XIII) usus sit et posteriora (8, 110. 124) passim contulerit comicosque (133) et oratores (100. 103. 114. 121. e Demosthene 8, 99 fin. qui ab eodem scil. citabatur quo usus est Harp. s. μετοίκιον, cf. ad fr. 56) et historicos (Philochorum 99 in. cf. Harp. s. ἀντιγραφεύς, Androtionem 121, Craterum 126). ex illo igitur Didymi libro, aut potius ex eiusdem lexico comico, in quo celeberrimo thesauro s. v. κύρβεις gemina sine dubio exhibebantur (propter Aristoph. av. 1354, nub. 448 et Cratinum a Plut. citatum, cf. Aristoph. ap. schol. Apoll. 4, 280. Maur. Schmidt de Did. fr. p. 59), omnia illa quae in lexicis s. κύρβεις et in scholiis varie mutilata quidem at inter se coniuncta exstant excerpta esse videntur (variorum lexicorum et commentariorum ex eodem fonte excerpta colligunt Phot. et schol. Apoll.): agens enim ille post comicorum testimonia primum de κύρβεων vocabuli origine Asclepiadis ἀξόνων ἐξηγητικὰ contra quae ipsa scripserat Didymus (cf. etiam schol. Aristoph. nub. 37 ubi eundem citat cum Aristotele et Demetrio) cum Phania Eresio (Et. M. et Gud. s. v.), Apollodorum praeterea cum Theophrasto et Aristotelem (Harp. et Phot. 189, 22 s. v., schol. av. 1354, sch. Apoll. 4, 280) citaverat, de ipsa deinde re Eratosthenem (Et. M., sch. Apoll. p. 498, 1 Keil) et contra hunc Polemonem (Harp. s. ἄξονι) et Aristophanem (Et. M., Gud.). ipsum etiam Plutarchum (c. 25 in.) non alium atque lexica exscripsisse Didymi locum manifestum est testanturque verba ὧν ἔτι καθ' ἡμᾶς ἐν πρυτανείῳ λείψανα μικρὰ διεσώζετο, quibus vel postquam similia Pausaniae (1, 18) comparaveris, minimam fidem habeas: sunt enim ipsa Polemonis illa διασώζονται δ' ἐν τῷ πρυτανείῳ. ceterum de eadem re saepius in commentariis Didymum egisse vides ex Harp. p. 136, 10, ubi et lemma et scholium ductum est e Didymi commentario ad Demosthenis orationem contra Aristocratem (or. 23, 28. cf. Harp. s. ἄξονι).

10. (347)

Gellius 2, 12 Hertz: *In legibus Solonis illis antiquissimis quae Athenis axibus ligneis incisae sunt quasque latas ab eo Athenienses ut sempiternae manerent poenis et religionibus sanxerunt, legem esse* A r i s t o t e l e s *refert scriptam ad hanc sententiam: si ob discordiam dissensionemque seditio atque discessio populi in duas partes fiet et ob eam causam irritatis animis utrimque arma capientur pugnabitur-*

que, tum qui in eo tempore in eoque casu civilis discordiae non alterutra parte sese adiunxerit, sed solitarius separatusque a communi malo civitatis secesserit, is domo patria fortunisque omnibus careto, exul extorrisque esto.

Quae hic latis verborum ambagibus reddit Gellius de lege illa ut absona (est enim optimum morum civilium praeceptum, ut multa Solonis, at non lex) ita mox obsoleta (vel potius nuuquam valente, cf. Lysiae orat. contra Philonem et maxime §. 27, cui non repugnat §. 29 *ἡ παροῦσα ἀτιμία*: hanc enim male interpretatus esse videtur Taylor in argumento orationi praeposito ed. Lond. 1739. p. 487. cf. §. 33), eadem brevius ita exprimit Plutarch. Solon. c. 20 in.: *τῶν δ' ἄλλων αὐτοῦ νόμων ἴδιος μὲν μάλιστα καὶ παράδοξος ὁ κελεύων ἄτιμον εἶναι τὸν ἐν στάσει μηδετέρας μερίδος γενόμενον* idemque Plut. de sera num. vind. c. 4: *παραλογώτατον δὲ τὸ τοῦ Σόλωνος ἄτιμον εἶναι τὸν ἐν στάσει πόλεως μηδετέρᾳ μερίδι προσθέμενον μηδὲ συστασιάσαντα* (cf. Plut. de solert. anim. 8, reipubl. ger. praec. 32. Cic. ep. ad Att. 10, 1).

11. (348)

Plutarch. Solon. c. 32: *ἡ δὲ δὴ διασπορὰ κατακαυθέντος αὐτοῦ* (sc. Solonis) *τῆς τέφρας περὶ τὴν Σαλαμινίων νῆσον ἔστι μὲν διὰ τὴν ἀτοπίαν ἀπίθανος παντάπασι καὶ μυθώδης, ἀναγέγραπται δ' ὑπό τε ἄλλων ἀνδρῶν ἀξιολόγων καὶ Ἀριστοτέλους τοῦ φιλοσόφου.*

Idem de Lycurgo in Creta mortuo narrat Aristocrates [Lacedaemonius et Laconicorum auctor recentior atque fabulis indulgens] *ap. Plutarch. Lyc. c.* 31. ita Müller ad fr. 14, cf. Fr. hist. Gr. IV p. 332.

12. (349)

Schol. in Aristoph. Acharn. 234 *Παλλήναδε: οἱ Παλληνεῖς δῆμός ἐστι τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ βουλομένῳ τυραννεῖν καὶ Ἀθηναίοις ἀμυνομένοις αὐτὸν συνέστη πόλεμος . . . μέμνηται δὲ τούτου καὶ Ἀνδροτίων καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.*

Cf. Phot. p. 592, 25 *τὸ ἀπὸ τῆς Παλληνίδος: τὸ φοβερόν, ἀπὸ τῆς ἐπὶ Παλληνίδι* (*ἐπὶ Παλληνίῳ* Andocid. de myst. 106. cf. Meier in ind. lect. Hal. aest. 1837 p. 6. *ἐπὶ Παλληνίδος* Polyaen. 1, 21. sc. *ἐπὶ Παλληνίδος Ἀθηνᾶς ἱερῷ* cf. Herod. 1, 62) *μάχης ἐν ᾗ ἡττήθησαν Ἀθηναῖοι.*

13. (350)

Schol. in Aristoph. Lysistr. 665 (*ἀλλ' ἄγετε λευκόποδες οἵπερ ἐπὶ Λειψύδριον ἤλθομεν*) *λυκόποδες: λυκόποδας ἐκάλουν, ὡς μὲν*

Ἀριστοτέλης, τοὺς τῶν τυράννων δορυφόρους· τοὺς γὰρ ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ ἔλαβον (ita Suid. edd. post Kuesterum, codd. ἔβαλλον ut schol. et Apostol. 10, 91). λυκόποδες δὲ ἐκαλοῦντο ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι περικεκαλυμμένους ὥστε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος. τινὲς δὲ λυκόποδας διὰ τὸ ἔχειν ἐπὶ τῶν ἀσπίδων ἐπίσημον λύκον (haec quae sine dubio apud Didymum et in commentario ad Aristoph. et in lexico comico indeque apud Diogenianum extabant, omisit Hesychius, retinuit alia quae ad scripturam Hermanni λευκόποδες spectantia hic inserenda sunt, s. λυκόποδες· οἱ Ἀλκμαιωνίδαι· οἱ μέν τινες διὰ τὴν τῶν ποδῶν λευκότητα· ἦσαν γὰρ ἀεὶ ὑποδεδεμένοι — corr. ἀνυπόδητοι, nisi ad alteram explicationem haec mutilata pertinent). ὁ δὲ Ἀριστοφάνης ἔφη τοὺς νῦν λεγομένους Ἀλκμαιωνίδας· οὗτοι γὰρ πόλεμον ἀράμενοι πρὸς Ἱππίαν τὸν τύραννον καὶ τοὺς Πεισιστρατίδας ἐτείχισαν (eadem voce usus fuit in eadem re Herod. 5, 62) τὸ Λειψύδριον (haec inde a. v. ὁ δὲ Ἀριστοφ. om. cod. Rav.). — *Λειψύδριον*: χωρίον τῆς Ἀττικῆς περὶ τὴν Πάρνηθον (ita cod. Rav., alii τὸ ὑπεράνω Πάρνηθος, ὑπὸ τὴν Πάρνηθον Etym. M. ὑπὲρ Πάρνηθος Hesych. Suid. Apostol., ὑπὲρ τῆς Σπάρτης Eust. Λειψύδριον τὸ ὑπὲρ Παιονίης τειχίσαντες Herod. l. c.), εἰς ὃ συνῆλθόν τινες τῶν (ita Suid.) ἐκ τοῦ ἄστεος (i. e. Alcmaeonidae ἅμα τοῖσι ἄλλοισι Ἀθηναίων φυγάσι ut ait Herodotus l. c., eadem ille identidem formula usus οἱ ἐκ τοῦ ἄστεος 1, 62. 63), ὥς φησιν *Ἀριστοτέλης* ἐν Ἀθηναίων πολιτείᾳ.

Praeter Suidam qui ex scholiis, Aristotelis nomine omisso, exscripsit eadem, et Apostol. prov. 10, 91 cf. Phot. s. v. *λυκόποδας*: Ἀριστοφάνης Λυσιστράτῃ· τοὺς πρὸς Ἱππίαν ἀγωνισαμένους ἐπὶ Λειψυδρίῳ ὡς γενναίους (cf. Apostol.)· ἔλεγον (male corrigitur ἔλαθον in ed. Porson.) γὰρ τοὺς δορυφόρους τῶν τυράννων διὰ τὸ κατειλεῖσθαι δέρμασι τοὺς πόδας καὶ λυκόποδας εἶναι· ἢ διὰ τὸ λύκον ἔχειν ἐπίσημον ἐπὶ ταῖς ἀσπίσιν ἀπὸ Διονυσίου (corr. Διονύσου) πρώτου. cum quibus cohaerebant olim quae ex eodem auctore qui Aristotelem citaverat quemque reddiderat Aristophanis commentator in scholiis nostris excerptus, manaverunt in lexicorum et proverbiorum (ἣν δὲ καὶ παροιμιαζομένη ἡ ἐπὶ Λειψ. μάχη, ut ait Eust.) conditores s. *ἐπὶ Λειψυδρίῳ μάχη* (Etym. M. p. 361, 32. Suid., Eustath. in Il. δ, p. 461 Bas., Apostol. 7, 70 Leutsch.): ἐπὶ τῶν ἀνδρείως ἀγωνιζομένων· τὸ δὲ Λειψύδριον χωρίον ἦν ὑπὸ τὴν Πάρνηθον ὃ ἐτείχισαν (μὲν add. Ap.) οἱ φυγάδες τῶν τυράννων ὧν (ita Suid. et Eust., Et. M. οὗ, Ap. οἱ δὲ) οἱ Ἀλκμαιωνίδαι προεστήκεσαν (προέστησαν Ap.)· ἐκπολιορκηθέντων δ' αὐτῶν ὑπὸ τῶν

περὶ Πεισίστρατον, σκολιὸν εἰς αὐτοὺς ᾖδετο «αἰαῖ Λειψύδριον προδωσέταιρον, οἵους ἄνδρας ἀπώλεσας μάχεσθ' ἀγαθούς γε (ita Leutsch, *μάχεσθαι ἀγ. τε* libri, *γε* Suid. codd. B. V., *μάχεσθαί τ' ἀγ.* Eust.) *καὶ εὐπατρίδας, ὁπότ'* (*οἳ τότ'* Athen., om. Eust.) *ἔδειξαν οἵων πατέρων ἔσαν* (*ἔασιν* Et. M., *κύρησαν* Athen.). quorum vestigia etiam apud Hesych. s. *Λειψύδριον: χωρίον τι ὑπὲρ Πάρνηθος ὃ ἐτείχιζεν Ἀλκμαίων.* scolium illud exhibetur inter alia multa apud Athenaeum XIV p. 695[f].

14. (351)

Schol. in Aristoph. Lysistr. 1153 (*οἱ Λάκωνες . . . ἐλθόντες δορὶ πολλοὺς μὲν ἄνδρας Θετταλῶν ἀπώλεσαν, πολλοὺς δ' ἑταίρους Ἱππίου καὶ ξυμμάχους*): *Ἀριστοτέλης φησὶ μετὰ τὸν Ἱππάρχου θάνατον χρησμὸν γενέσθαι τοῖς Λάκωσιν καταλύειν τὴν τυραννίδα, τῆς Πυθίας, ὡς οἱ Ἀλκμαιωνίδαι ἐμισθώσαντο τὸν ἐν Δελφοῖς νεὼν οἰκοδομεῖν* (*τὸν νηὸν μισθοῦνται τὸν ἐν Δελφοῖσι . . . ἐξοικοδομῆσαι* Her.). *συνεχῶς τοῦτο χρώσης αὐτοῖς μαντευομένοις, ἕως πρότερον μὲν Ἀγχιμόλιον* (*ἀγχίμολον* cod. Rav.) *ἔπεμψαν κατὰ θάλασσαν* (*πέμπουσι Ἀγχιμόλιον . . . πέμπουσι δὲ τούτους κατὰ θάλασσαν πλοίοισι* Her.), *ἀποκρουσθέντος δὲ αὐτοῦ ὀργισθέντες οἱ Λάκωνες Κλεομένη τὸν βασιλέα σὺν μείζονι ἐξέπεμψαν στόλῳ* (*μέζω στόλον στείλαντες ἀπέπεμψαν . . . κατ' ἤπειρον* Her.), *καὶ νικήσας τοὺς Θετταλοὺς εἰσῆλθεν εἰς τὴν Ἀττικὴν* (*τοῖσι δὲ ἐσβαλοῦσι ἐς τὴν Ἀττικὴν χώρην* etc. Her.) *καὶ τὸν Ἱππίαν συνέκλεισεν εἰς τὸ Πελασγικὸν* (*πελαργικὸν* cod. Rav.) *τεῖχος* (*ἐπολιόρκεε τοὺς τυράννους ἀπεργμένους ἐν τῷ Πελασγικῷ τείχει* Her.), *ἕως οἱ παῖδες τῶν τυράννων ἐξιόντες ἑάλωσαν* (*ὑπεκτιθέμενοι γὰρ ἔξω τῆς χώρης οἱ παῖδες τῶν Πεισιστρατιδέων ἥλωσαν* Her.).

Eadem haec uberius narrantur ab Herodoto (5, 62—65) *ὡς οἱ Ἀθηναῖοι λέγουσιν* (c. 63 in.), et licet neque Atthidum scriptores dissensisse credam (cf. de templo Delphico Philoch. ap. schol. Pind. Pyth. 7, 9 p. 392 Boeckh.), ipsius tamen Herodoti in Pisistratidarum historia Pseudaristotelem vestigia pressisse verborum consensus et in hoc fragmento et in superiori vel nunc conspicuus ostendit.

15. (352)

Schol. in Aristoph. vesp. 502 *εἰ τὴν Ἱππίου καθίσταμαι τυραννίδα*: *ἀντὶ τοῦ . . . ἄλλως. χαλεπὴ γὰρ ἡ Ἱππίου τυραννὶς ἐδόκει γεγονέναι, πολὺ τῆς τοῦ πατρὸς Πεισιστράτου χείρων. μνημονεύει δὲ αὐτοῦ καὶ ἐν Λυσιστράτῃ* (cf. schol. ad Lys. 619). *εἰκότως δὲ τεσσάρων ὄντων κατ' ἐνίους τῶν Πεισιστρατιδῶν τὸν Ἱππίαν παρέλαβεν· πρεσβύτατος*

γὰρ ἦν αὐτὸς καὶ τὴν τυραννίδα εἶχε, καθὰ καὶ Θουκυδίδης φησί (1, 20. 6, 54—59). δοκεῖ δὲ ἡ τυραννὶς καταστῆναι, ὥς φησιν Ἐρατοσθένης, ἐπὶ ἔτη ν̄ (ita quoque verus Aristoteles in polit. 5, 12 p. 1315ᵇ31, qui 51 annos numerat, ipsius Pisistrati 33 et 18 filiorum), τοῦ ἀκριβοῦς διαμαρτάνων, Ἀριστοτέλους (ita Bentley, codd. Ἀριστοφάνους) μὲν τεσσαράκοντα καὶ ἓν φήσαντος (sicut Isocrates or. 16, 26 τετταράκοντα δ' ἔτη τῆς στάσεως γενομένης. νᾱ cum Meursio emendare voluit Bournot p. 271, ut ipsum hoc sit Aristotelis testimonium in polit. 5, 12), Ἡροδότου δὲ (5, 65) ἓξ καὶ τριάκοντα.

Haec ex eodem Aristotele, quem de eadem re etiam in comm. ad Acharn. et Lysistr. citaverit, Didymum attulisse cum Dindorfio censeo nec qui contra stetit Schneidewin (ad Heraclid. polit. p. 38) pro Aristophanis nomine, quod corruptum et ipse voluit, aliud quod magis conveniret in promptu habuit. de ipso Pisistrato vulgatum 33 annorum numerum praebent etiam exc. Heraclid. p. 4, 12.

16. (353)

Harpocr. s. ναυκραρικά: Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (11) ... ναυκράρους γὰρ τὸ παλαιὸν τοὺς ἄρχοντας ἔλεγον, ὡς καὶ ἐν τῇ ε̄ (5, 71) δηλοῖ. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ (περὶ Κλεισθένους add. schol. nub. 37, ubi Harpocrationis duorum locorum verba et inter se et cum aliis coniuncta in scholia recentiora recepta sunt p. 82, 30—37 ed. Par.) φησὶ «κατέστησε καὶ (ita sch., Harp. κατέστησαν δὲ) δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις· καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν ναυκραριῶν ἐποίησε (ita sch., Harp. δημίους vel sec. cod. A δημαίους ἀντὶ τῶν ναυκράρων ἐποίησαν).

Idem Aristotelis testimonium quod ex Didymi in Demosthenem commentario hoc loco petitum esse patet, apud eundem Harpocrationem (e quo eadem Eudocia p. 108) tangitur s. δήμαρχος: Λυσίας ἐν τῷ κατὰ Μόσχου. ἄρχων τις ἦν ὁ δήμαρχος· οὗτοι δὲ τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν (ita cod. Darmstad. sec. Acta Monac. 3, 247 et Eudocia. pro ἐν, quod codd. vulgo omittunt, etiam Vind., additur προσόντων in codd. D. E et Suida qui Harp. repetit) ἑκάστῳ δήμῳ χωρίων. ἔτι δὲ καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρὰ τούτοις ἦν καὶ συνῆγον τοὺς δήμους ὁπότε δεήσειεν καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν. τούτους δέ φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ ὑπὸ Κλεισθένους κατασταθῆναι τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις. ὅτι δὲ ἠνεχυρίαζον οἱ δήμαρχοι δηλοῖ Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις.

quae de munere demarchorum et hic et in lexicis (cf. Hesych., Etym. M., Lex. rhet. Seg. s. v. p. 237, 8. 242, 16 et supra ad fr. 7. Boeckh Staatsh. I, 664) feruntur, etsi fortasse ad Aristotelem, ad hunc certe historiae (cf. Herod. 5, 69) locum non pertinent.

17. (354)

Plut. Themist. c. 10: *κρατήσας δὲ τῇ γνώμῃ* (ὁ Θεμιστοκλῆς) *ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέσθαι τῇ Ἀθηνᾷ τῇ Ἀθηνάων μεδεούσῃ, τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ γυναῖκας καὶ ἀνδράποδα σώζειν ἕκαστον ὡς δυνατόν ... οὐκ ὄντων δὲ δημοσίων χρημάτων τοῖς Ἀθηναίοις Ἀριστοτέλης μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ὀκτὼ δραχμὰς ἑκάστῳ τῶν στρατευομένων αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις· Κλείδημος δὲ καὶ τοῦτο Θεμιστοκλέους ποιεῖται στρατήγημα ... ἐκπλεούσης δὲ τῆς πόλεως τοῖς μὲν οἶκτον τὸ θέαμα, τοῖς δὲ θαῦμα τῆς τόλμης παρεῖχε γενεὰς* (ita Sintenis, codd. *γονέας*) *μὲν ἄλλῃ προπεμπόντων, αὐτῶν δ' ἀκάμπτων πρὸς οἰμωγὰς καὶ δάκρυα γονέων καὶ περιβολὰς διαπερώντων εἰς τὴν νῆσον. καίτοι πολλοὶ μὲν διὰ γῆρας ἀπολιμπανόμενοι τῶν πολιτῶν ἔλεον εἶχον· ἦν δέ τις καὶ ἀπὸ τῶν ἡμέρων καὶ συντρόφων ζώων ἐπικλῶσα γλυκυθυμία μετ' ὠρυγῆς καὶ πόθου συμπαραθεόντων ἐμβαίνουσι τοῖς ἑαυτῶν τροφεῦσι. ἐν οἷς ἱστορεῖται κύων Ξανθίππου τοῦ Περικλέους πατρὸς οὐκ ἀνασχόμενος τὴν ἀπ' αὐτοῦ μόνωσιν ἐναλέσθαι τῇ θαλάττῃ καὶ τῇ τριήρει παρανηχόμενος ἐμπεσεῖν εἰς τὴν Σαλαμῖνα καὶ λειποθυμήσας ἀποθανεῖν εὐθύς· οὗ καὶ τὸ δεικνύμενον ἄχρι νῦν καὶ καλούμενον Κυνὸς σῆμα τάφον εἶναι λέγουσι* (cf. Plut. Caton. 5: *κύνας δὲ συντρόφους γενομένους καὶ συνήθεις ἄλλοι τε πολλοὶ καὶ Ξάνθιππος ὁ παλαιὸς τὸν εἰς Σαλαμῖνα τῇ τριήρει παρανηξάμενον ὅτε τὴν πόλιν ὁ δῆμος ἐξέλιπεν, ἐπὶ τῆς ἄκρας ἐκήδευσεν ἣν Κυνὸς σῆμα μέχρι νῦν καλοῦσιν*). quae ex eodem ut superiora Aristotele nominum propriorum (*Κυνὸς σῆμα*) sicut proverbiorum alibi explicationes politicas grammaticasque grammatico studio minutias indagante testatur afferri Aelianus de nat. an. 12, 35 (e quo Tzetzes chil. 4, 182 cf. Asclepiades ibid. 4, 198 ap. Müller. Fr. hist. III, 305): *πέπυσμαι δὲ πρὸς τοῖς ἤδη μοι προειρημένοις κύνας γενέσθαι φιλοδεσπότους, ὡς Ξανθίππου τοῦ Ἀρίφρονος· μετοικιζομένων γὰρ τῶν Ἀθηναίων εἰς τὰς ναῦς ἡνίκα τοῦ χρόνου ὁ Πέρσης τὸν μέγαν πόλεμον ἐπὶ τὴν Ἑλλάδα ἐξῆψε καὶ ἔλεγον οἱ χρησμοὶ λῷον εἶναι τοῖς Ἀθηναίοις τὴν μὲν πατρίδα ἀπολιπεῖν, ἐπιβῆναι δὲ τῶν τριήρων, οὐδὲ οἱ κύνες τοῦ προειρημένου ἀπελείφθησαν, ἀλλὰ συμμετῳ-*

κίσαντο τῷ Ξανθίππῳ καὶ διανηξάμενοι ἐς τὴν Σαλαμῖνα ἀπέσβησαν (ita propos. Iacobs ad Ael. II, 431. codd. *ἀπέβησαν*. *ἀπέπνευσαν* voluit Siebelis ad Philoch. fr. p. 48). *λέγετον δὲ ἄρα ταῦτα Ἀριστοτέλης καὶ Φιλόχορος.*

18. (355)

Harpocr. s. *ἑλληνοταμίαι*: *Ἀνδοκίδης ἐν τῷ περὶ εἰρήνης* (§. 38) *εἰ γνήσιος. ὅτι ἀρχή τις ἦν οἱ ἑλληνοταμίαι οἳ διεχείριζόν τινα* (codd. *τὰ* nisi fuit *τὰ κοινὰ χρ.* cf. lexica s. v.) *χρήματα, καὶ Ἀριστοτέλης δηλοῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ. μνημονεύει δὲ καὶ Θουκυδίδης αὐτῶν ἐν ᾱ* (I, 96).

Hunc magistratum in Aristidis et societatis Atheniensis historia commemoravisse Aristotelem (v. fr. 62 Müll.), sicut commemoravit Thucydides (l. c.), non autem in magistratuum descriptione, vel inde probatur quod post Euclidem ille non restitutus est (cf. Boeckh Staatsh. I, 242. 246).

19. (356)

Plutarch. Cimon. c. 10: *ἤδη δ' εὐπορῶν ὁ Κίμων ἐφόδια τῆς στρατιᾶς, ἃ καλῶς ὑπὸ τῶν πολεμίων ἔδοξεν ὠφελῆσθαι, κάλλιον ἀνήλισκεν εἰς τοὺς πολίτας. τῶν τε γὰρ ἀγρῶν τοὺς φραγμοὺς ἀφεῖλεν, ἵνα καὶ τοῖς ξένοις καὶ τῶν πολιτῶν τοῖς δεομένοις ἀδεῶς ὑπάρχῃ λαμβάνειν τῆς ὀπώρας* (cf. Plut. Pericl. 9: *ὅπως ὀπωρίζωσιν οἱ βουλόμενοι* et ipsius Theopompi verba *ὅπως οἱ βουλόμενοι τῶν πολιτῶν εἰσιόντες ὀπωρίζωνται*), *καὶ δεῖπνον οἴκοι παρ' αὐτῷ λιτὸν μὲν ἀρκοῦν δὲ πολλοῖς* (Theop. *καὶ δεῖπνον ἀεὶ εὐτελὲς παρασκευάζεσθαι πολλοῖς ἀνθρώποις*) *ἐποιεῖτο καθ' ἡμέραν, ἐφ' ὃ τῶν πενήτων ὁ βουλόμενος εἰςῄει καὶ διατροφὴν εἶχεν ἀπράγμονα μόνοις τοῖς δημοσίοις σχολάζων. ὡς δ' Ἀριστοτέλης φησίν, οὐχ ἁπάντων Ἀθηναίων ἀλλὰ τῶν δημοτῶν αὐτοῦ Λακιαδῶν παρεσκευάζετο τῷ βουλομένῳ τὸ δεῖπνον. αὐτῷ δὲ νεανίσκοι παρείποντο . . .*

Cum Aristotele facit etiam Theophrastus apud Cic. de off. 2, 18 (*Th. quidem scribit Cimonem Athenis etiam in suos curiales Laciadas hospitalem fuisse. ita enim instituisse et villicis imperavisse ut omnia praeberentur, quicunque Laciades in villam suam devertisset*). altera autem cui haec opponitur sententia, immo iactantia, Theopompi fuit (e Philippicorum libro X, cuius ipsa verba affert Athen. XII, 533 = Theop. fr. 94 Müll.), nimium quidem illius ut Themistocli democratiae fautori detrahentis ita Cimonis contrariae parti addicti popularem tamen liberalitatem augentis. qua de re quum eadem verba in vita Periclis (c. 9) Plutar-

chus repetat, omnem istum sermonem Pericli inimicum, cui Aristotelis mentio in fr. 20 exhibita a Plutarcho inseritur, e Theopompo ductum esse (inde a verbis c. 9 v. 3 Sint. *ἄλλοι δὲ πολλοὶ πρῶτον ὑπ' ἐκείνου φασὶ τὸν δῆμον* etc.) perspicitur. atque in hoc etiam vitae Cimonis loco ad Aristotelem nihil pertinere nisi ipsius opinionis dissentientis notitiam a Plutarcho Theopompeis insertam quae et praecedant et sequantur (v. 11—16 Sint.), fragmentum probat ab Athenaeo servatum, cui ex eodem fonte eodemque rerum tenore de Cimonis liberalitate agens consentit Nepos (Cim. 4). clarissimus enim erat demagogorum adversarii decimus ille de demagogis Atticis liber, ex quo omnis illa apud Nepotem vita Cimonis pendet quamvis exilis: nam praeter c. 4 non solum in c. 1, ubi de Elpinice (cf. Plut. Cim. c. 4 v. 41—47: *εἰσὶ δ' οἵ* etc.) Theopompi Cimonem defendentis vestigia deprehenduntur, sed quum de exilio c. 3 et cum ipso Theopompo (fr. 92 Müll. ap. schol. in Aristid. t. II p. 284) et cum Plut. Cim. 17—18 et Pericl. 10 et in argumento et ipsis passim verbis consentiat, vel illa quibus apud Plutarchum post c. 9 vita Periclis continuatur (c. 10. v. 1—19) ex eodem fonte Theopompo sumta esse probantur. Heraclides autem in politiis utrum Theopompum secutus sit, cui opinioni favent ut plurimum quae nunc eius restant verba Theopompeis simillima, an Aristotelem (*ἐξ ὧν πολλούς* i. e. aut *τοὺς δεομένους* aut *τοὺς Λακιάδας* cf. Schneidewin ad Her. p. 40) an sicut Plutarchus utramque sententiam posuerit, in tanta tamque libidinosa excerptoris Byzantini brevitate atque temeritate diiudicari nequit. sunt autem eius haec verba: (*Κίμων*) *τοὺς ἰδίους ἀγροὺς ὀπωρίζειν παρεῖχε τοῖς βουλομένοις, ἐξ' ὧν πολλοὺς ἐδείπνιζεν.*

20. (357)

Plutarch. Pericl. c. 4: *διδάσκαλον δ' αὐτοῦ* (Periclis) *τῶν μουσικῶν οἱ πλεῖστοι Δάμωνα γενέσθαι λέγουσιν, οὗ φασὶ δεῖν τοὔνομα βραχύνοντας τὴν προτέραν συλλαβὴν ἐκφέρειν. Ἀριστοτέλης δὲ παρὰ Πυθοκλείδῃ μουσικὴν διαπονηθῆναι τὸν ἄνδρα φησίν. ὁ δὲ Δάμων . . .*

21. (358)

Plutarch. Pericl. c. 9: *ἐπεὶ δὲ Θουκυδίδης . . . ἄλλοι δὲ πολλοὶ πρῶτον ὑπ' ἐκείνου φασὶ τὸν δῆμον ἐπὶ κληρουχίας καὶ θεωρικὰ καὶ μισθῶν διανομὰς προαχθῆναι κακῶς ἐθισθέντα καὶ γενόμενον πολυτελῆ καὶ ἀκόλαστον ὑπὸ τῶν τότε πολιτευμάτων ἀντὶ σώφρονος καὶ αὐτουργοῦ, θεωρείσθω διὰ τῶν πραγμάτων αὐτῶν ἡ αἰτία τῆς μεταβολῆς. ἐν ἀρχῇ μὲν γάρ, ὥσπερ εἴρηται, πρὸς τὴν Κίμωνος δόξαν*

ἀντιταττόμενος ὑπεποιεῖτο τὸν δῆμον, ἐλαττούμενος δὲ πλούτῳ καὶ χρήμασιν, ἀφ' ὧν ἐκεῖνος ἀνελάμβανε τοὺς πένητας, δεῖπνόν τε καθ' ἡμέραν τῷ δεομένῳ παρέχων Ἀθηναίων καὶ τοὺς πρεσβυτέρους ἀμφιεννύων τῶν τε χωρίων τοὺς φραγμοὺς ἀφαιρῶν ὅπως ὀπωρίζωσιν οἱ βουλόμενοι, τούτοις ὁ Περικλῆς καταδημαγωγούμενος τρέπεται πρὸς τὴν τῶν δημοσίων διανομήν, συμβουλεύσαντος αὐτῷ Δημωνίδου τοῦ Οἴηθεν, ὡς Ἀριστοτέλης ἱστόρηκε. καὶ ταχὺ θεωρικοῖς καὶ δικαστικοῖς λήμμασιν ἄλλαις τε μισθοφοραῖς καὶ χορηγίαις συνδεκάσας τὸ πλῆθος ἐχρῆτο κατὰ τῆς ἐξ Ἀρείου πάγου βουλῆς ... ὥστε τὴν μὲν ἀφαιρεθῆναι τὰς πλείστας κρίσεις δι' Ἐφιάλτου, Κίμωνα δ' ὡς φιλολάκωνα καὶ μισόδημον ἐξοστρακισθῆναι.

Theopompea haec esse quibus brevis (ut in fr. 19 et 20) inserta Aristotelis notitia, modo dixi ad fr. 19. Aristotelis enim in omni hoc loco nihil est nisi illud: *συμβουλεύσαντος αὐτῷ Δημωνίδου τοῦ Οἴηθεν.*

22. (359)

Argum. Isocrat. Areopagit. (ex prolegomenis christiani cuiusdam Isocratis et parum docti commentatoris sexti ut videtur p. Chr. seculi cf. e. g. p. 108, 12 *ὡς σὺν θεῷ μαθησόμεθα* quae Olympiodori et Davidis aetatem sapiunt) apud Schol. in Aeschinem et Isocr. ed. Guil. Dindorf. Oxon. 1852. p. 111: *Ἐφιάλτης τις καὶ Θεμιστοκλῆς* (immo Pericles) *χρεωστοῦντες τῇ πόλει χρήματα καὶ εἰδότες ὅτι ἐὰν δικασθῶσιν οἱ Ἀρεοπαγῖται πάντως ἀποδώσουσι, καταλῦσαι αὐτοὺς ἔπεισαν τὴν πόλιν, οὕτως οὔπως τινὸς μέλλοντος κριθῆναι. ὁ γὰρ Ἀριστοτέλης λέγει ἐν τῇ πολιτείᾳ τῶν Ἀθηναίων ὅτι καὶ ὁ Θεμιστοκλῆς* (Pericles) *αἴτιος ἦν μὴ πάντα* (*πάντως* cod. Mustoxydis) *δικάζειν τοὺς Ἀρεοπαγίτας· δῆθεν μὲν ὡς δι' αὐτοὺς τοῦτο ποιοῦντες, τὸ δ' ἀληθὲς διὰ τοῦτο πάντα κατασκευάζοντες. εἶτα οἱ Ἀθηναῖοι ἀσμένως ἀκούσαντες τῆς τοιαύτης συμβουλῆς κατέλυσαν αὐτούς.*

Themistoclis nomen commentatoris errore irrepsisse pro Pericle, vidit Andr. Mustoxydes (*Συλλογὴ Ἑλληνικῶν ἀνεκδότων*, fasc. I. Ven. 1816. p. 7 hypothesium = p. 31). ceterum oligarchorum has calumnias (cf. Diod. XI, 77) ex Ephialtis paupertate (Aelian. var. hist. 2, 43) ductas Theopompo et ipsas deberi prompta est legentis coniectura.

23. (360)

Plutarch. Pericl. c. 10: *Ἐφιάλτην μὲν οὖν φοβερὸν ὄντα τοῖς ὀλιγαρχικοῖς καὶ περὶ τὰς εὐθύνας καὶ διώξεις τῶν τὸν δῆμον ἀδικούντων ἀπαραίτητον ἐπιβουλεύσαντες οἱ ἐχθροὶ δι' Ἀριστοδίκου τοῦ Ταναγρικοῦ κρυφαίως ἀνεῖλον, ὡς Ἀριστοτέλης εἴρηκεν.*

Contra Antiphon de caede Herod. 68: *αὐτίκα Ἐφιάλτην τὸν ὑμέτερον πολίτην οὐδέπω νῦν εὕρηνται οἱ ἀποκτείναντες* (cf. Diod. XI, 77).

24. (361)

Schol. (historicorum et comicorum testimoniis de Hyperbolo et Cleone demagogis refertum, quod e commentariis Aristophanicis collectum videtur, cf. schol. vesp. 1007, pac. 681. 692 de Hyperbolo) in Lucian. Tim. 30 p. 47 ed. Iacobitz (cod. Voss. et Paris.): *ἐπέστη δὲ* (*Κλέων*) *καὶ τῇ πρὸς Λακεδαιμονίους εἰρήνῃ, ὡς Φιλόχορος* (cf. Philoch. ap. schol. Ar. pac. 665) *καὶ Ἀριστοφάνης προσθεὶς ἄρχοντα Εὔθυνον* (Ol. 88, 3). *Ἀριστοτέλης δὲ καὶ περιζωσάμενον αὐτὸν λέγει δημηγορῆσαι, εἰς τὴν θρασύτητα αὐτοῦ ἀποσκώπτων* etc. (cf. Schol. in Aeschin. c. Tim. 25 p. 14, 11 Dind.: *λέγεται δὲ Κλέων ὁ δημαγωγὸς παραβὰς τὸ ἐξ ἔθους σχῆμα περιζωσάμενος δημηγορῆσαι*: debebat scil. *ἐντὸς τὴν χεῖρα ἔχειν*, de quo Aesch. l. c.).

Aristophanis et Aristotelis nomina hic inter se commutata esse vidit Hemsterhusius (in ed. Amst. 1743 t. I p. 144). licet enim, ut contra dixit Car. Müller (ad Ar. fr. 70ᵃ), parile sit fragmentum de Cleophonte sequens (26), comici tamen esse *ἀποσκώπτων* illud (cf. etiam Schol. p. 46 de Polyzelo), non philosophi certissimum est. corrigas igitur cum Hemsterhusio: *ὡς Φιλόχορος προσθεὶς* (pro annalium instituto) *ἄρχοντα Εὔθυνον* (de anno v. Hemst.) *καὶ Ἀριστοτέλης. Ἀριστοφάνης δὲ καὶ περιζ.* etc.

25. (362)

Plutarch. Nic. c. 2: *ἔνεστιν οὖν περὶ Νικίου πρῶτον εἰπεῖν ὃ γέγραφεν Ἀριστοτέλης, ὅτι τρεῖς ἐγένοντο βέλτιστοι τῶν πολιτῶν καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον, Νικίας ὁ Νικηράτου καὶ Θουκιδίδης ὁ Μελησίου καὶ Θηραμένης ὁ Ἅγνωνος.*

Quorum ultimus sine dubio Theramenes talis iudicii occasionem auctori dedit.

26. (363)

Schol. in Aristoph. ran. 1532 *Κλεοφῶν δὲ μαχέσθω: παρόσον, ὡς Ἀριστοτέλης φησί, μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι ἐφ' οἷς ἔχουσιν ἑκάτεροι καὶ εἰρήνην ἄγειν ἐπὶ τοῦ Καλλίου* (Ol. 93, 3), *Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκώς, οὐ φάσκων ἐπιτρέψειν ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι.*

27. (364)

Harpocr. (e Didymo) s. *δεκάζων*: *Ἰσοκράτης περὶ τῆς εἰρήνης* (50) . . . *Ἐρατοσθένης δὲ ἐν τοῖς περὶ τῆς ἀρχαίας κωμῳδίας πόθεν τὸ πρᾶγμα εἴρηται δηλοῖ* (cf. schol. vesp. 380) . . . *Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ Ἄνυτόν φησι καταδεῖξαι τὸ δεκάζειν τὰ δικαστήρια.*

Ex eodem fonte similia ap. lex. rhet. Seg. s. v., ubi p. 236, 6 (Etym. M. p. 254, 31): *πρῶτος δ' ἐδόκει δεκάσαι Μέλητος* (corr. *Ἄνυτος*) *τὰς εὐθύνας διδοὺς τῆς ἐν Πύλῳ στρατηγίας ἣν κακῶς ἐστρατήγησεν.* cf. Diod. 13, 64 (*καὶ πρῶτος Ἀθηναίων δοκεῖ δικαστήριον δωροδοκῆσαι*).

28. (365)

Harpocr. (ex quo Phot. et Suid., Aristotelis tamen nomine neglecto) s. *τετρακόσιοι*: *Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. οἱ τετρακόσιοι πρὸ ἑπτὰ ἐτῶν κατέστησαν τῶν τριάκοντα τυράννων παρ' Ἀθηναίοις, οἵτινες τέτταρας μῆνας ἦρξαν τῆς πόλεως, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.*

29. (366)

Schol. in Aristoph. vesp. 157 (e Didymo) *Δρακοντίδης: πονηρὸς οὗτος καὶ πλείσταις καταδίκαις ἐνεχόμενος, ὡς Πλάτων Σοφισταῖς. Καλλίστρατος δὲ ἕνα τῶν τριάκοντά φησιν, εἰ μὴ ὁμώνυμος· ἔστι γὰρ οὗτος ὁ τὸ περὶ τῶν τριάκοντα ψήφισμα περὶ ὀλιγαρχίας γράψας, ὡς Ἀριστοτέλης ἐν πολιτείαις* (cf. Lys. contra Eratosth. 73).

30. (367)

Pollux onomast. (ed. I. Bekker, Berol. 1846) 8, 85—87: *ἀρχόντων δὲ τῶν Ἀθήνησιν ὀνόματα οἱ ἐννέα ἄρχοντες. εἰσὶ δὲ ἄρχων, βασιλεύς, πολέμαρχος καὶ θεσμοθέται ἕξ· ἐκ τούτων γὰρ οἱ ἐννέα συμπληροῦνται.* (hic add. Synag. lex. Seg. p. 449, 17 Bekk. = Suid. cf. schol. Plat. Phaedr. p. 313.) *ἐκαλεῖτο δέ τις θεσμοθετῶν ἀνάκρισις* (fr. 31), *εἰ Ἀθηναῖοί εἰσιν ἑκατέρωθεν ἐκ τριγονίας* (fr. 32) *καὶ τὸν δῆμον πόθεν καὶ εἰ Ἀπόλλων ἔστιν αὐτοῖς πατρῷος* (cf. fr. 1) *καὶ Ζεὺς ἕρκειος καὶ εἰ τοὺς γονέας εὖ ποιοῦσι καὶ εἰ ἐστράτευνται ὑπὲρ τῆς πατρίδος καὶ εἰ τὸ τίμημα ἔστιν αὐτοῖς. ἐπηρώτα δ' ἡ βουλή, ὤμνυον* (fr. 33) *δ' οὗτοι πρὸς τῇ βασιλείῳ στοᾷ, ἐπὶ τοῦ λίθου ὑφ' ᾧ τὰ ταμιεῖα, συμφυλάξειν τοὺς νόμους καὶ μὴ δωροδοκήσειν, ἢ χρυσοῦν ἀνδριάντα ἀποτῖσαι. εἶτα ἐντεῦθεν εἰς ἀκρόπολιν ἀνελθόντες ὤμνυον ταὐτά. μυρρίνῃ δ' ἐστεφάνωντο* (cf. schol. Aeschin. p. 11, 26 Dind. Hes. et Phot.

s. *μύρρινος*, schol. Aristoph. ran. 330, vesp. 861), *καὶ κοινῇ μὲν ἔχουσιν ἐξουσίαν θανάτου ἐάν τις κατίῃ ὅποι μὴ ἔξεστι* (cf. Poll. 8, 50), *καὶ κληροῦν δικαστάς, καὶ ἀθλοθέτας* (cf. Poll. 8, 93) *ἕνα κατὰ φυλὴν ἑκάστην καὶ στρατηγοὺς χειροτονεῖν ἐξ ἁπάντων, καὶ καθ' ἑκάστην πρυτανείαν ἐπερωτᾶν εἰ δοκεῖ καλῶς ἄρχειν ἕκαστος, τὸν δ' ἀποχειροτονηθέντα κρίνουσιν, καὶ ἱππάρχους δύο καὶ φυλάρχους δέκα καὶ ταξιάρχους δέκα* (haec male transposita sunt. cf. fr. 45—48). *καὶ κοινῇ μὲν ταῦτα.*

Archontum Atticorum munerumque quae et omnium essent communiter et singulorum recensionem, qua apud Pollucem (8, 85—91) excursus ille (de quo supra ad fr. 9) introducitur de magistratibus Atticis, eam uni Aristoteli deberi totam, licet ita ab auctore quo Pollux usus est in brevius contractam ut praeter alia causarum definitiones ab Aristotele additae omissae sint, id si lexicographorum verba passim consimilia atque eodem rerum ordine prolata (fr. 35. 39. 42. 44) maximeque Harpocrationem comparaveris qui Didymum fere sequitur, facile concesseris. neque alium puto auctorem Aristotelea illa lexicis tradidisse quam ipsum illum Didymum, cuius laboriosa diligentia lexicographis eisque qui in scriptores per secula Christiana praecipue lectitatos ederent commentarios, principali erat fundamento, vel nobis illa in lexicis Byzantinis scholiisque ex commentariis variorum postea collectis atque in unum librum conscriptis ex minima quadam parte conservata. neque obstat quod nunquam neque ille diserto testimonio a Polluce citatur neque qui ex eius thesauris lexica sua excerpserunt (Pamphilum enim a Polluce exscribi puto, non ipsum Didymum, cf. e. g. Pamph. ap. Athen. XI, 496[a] s. *πλημοχόη* = Poll. 10, 73). est enim fere labentis eruditionis ea consuetudo et apud veteres inde a primo post Chr. seculo et medio aevo late patens, ut quo scriptore quasi quodam fundamento omnis opera superstructa est, hunc vix vel raro commemorent, describant vero cum ipsis rebus etiam nomina auctorum quibus ille usus sit, falsa propriae lectionis specie iudices parum litteratos decipientes. id quod et in Pollucem cadit et in Harpocrationem et plerosque inde ab ea aetate omnes (cf. de Diogene Laertio V. Rose de libr. Aristot. p. 40) neque omnino est cuius propria diligentia minor, maior doctrinae vana species fuerit quam Athenaeus, qui et Didymo et Pamphilo abutitur. omnis enim vera veterum grammaticorum eruditio Didymi aetate atque in ipso maxime Didymo finitur, ultra quem in fontium indagatione non facile ascenditur, ad quem ubique ducimur. qua de causa Pollucis illum de novem archontibus locum ita exscripsi ut singulis capitibus fragmenta Aristotelica subiicerem cum ipso auctoris nomine aliunde

tradita servaremque in ordinandis illis eum quem Pollux rerum ordinem. ultra vero Pollucis auctoritatem quominus sequar, eius ipsa doctrinae ratione impedior qua non ipse antiquis illis quos passim significat auctoribus usus est, sed paucis et recentibus, maximeque lexicis variorum testimonia componentibus: in quibus quidem non unicum, at praecipuum de omni hoc magistratuum Atticorum loco fontem Aristotelem fuisse, ut fuit Didymo, manifestum est.

31. (368)

Lex. rhetor. fragm. Cantabrig. (post Phot. ed. Oxon.) p. 670, 14 (p. 17 ed. Meier) *θεσμοθετῶν ἀνάκρισις: κατὰ Ἀριστοτέλην οἱ θεσμοθέται ἐκ τῶν θ ἀρχόντων, αὐτοὶ ἓξ ὄντες. οἱ δὲ λαχόντες ὑπὸ τῆς βουλῆς τῶν πεντακοσίων καὶ τοῦ δικαστηρίου* (cf. Dem. 20, 90) *δοκιμάζονται, πλὴν* (ita cod. an *παρὰ*?) *τοῦ γραμματέως ἐρωτώμενοι τίνες αὐτῶν πατέρες, ὁμοίως καὶ δήμων τίνων εἰσί, καὶ εἰ ἔστιν αὐτοῖς Ἀπόλλων πατρῷος* (cf. Eudoc. p. 331) *καὶ Ζεὺς ἕρκειος* (Dinarchi *εἰ τὰ ἱερὰ πατρῷα ἔστιν*. ubi non scribendum est *ἠρία* i. e. *μνήματα, τάφοι*, ut in Demosth. 57, 67. cf. Schoemann ad Isaeum p. 222), *καὶ εἰ τοὺς γονέας εὖ ποιοῦσι* (cf. Xen. mem. 2, 2, 13), *καὶ εἰ τὰ τέλη τελοῦσι, καὶ εἰ τὰς ὑπὲρ τῆς πατρίδος στρατείας ἐστρατεύσαντο. πάντα οὖν* [*ταῦτα* add. Meier] *ἀνάκρισιν εὐλόγως ὠνόμασαν.*

Aristoteles igitur praesentem reipublicae formam describens hic quoque ut in ceteris fragmentis praesenti tempore usus deprehenditur: quod a Polluce et grammaticis ad propriam aetatem respicientibus facile delebatur (cf. fr. 33). abest tamen ab his *τριγονία* illa Pollucis Solonea nec nisi in patrem inquiritur, sicut par erat (cf. Dem. 59, 92. Lys. 24, 13) post Aristidem (cf. Demosth. 57, 67: *ὥσπερ γὰρ τοὺς θεσμοθέτας ἀνακρίνετ', ἐγὼ τὸν αὐτὸν τρόπον ἐμαυτὸν ὑμῖν ἀνακρίνω. ὦ ἄνθρωπε, τίς ἦν σοι πατήρ*; etc. v. 67—70). nihilo minus in utroque et Pollucis et lexici rhet. loco manet *τὸ τίμημα* (Plut. Aristid. 1) et *τὰ τέλη τελεῖν* (*τὸ εἰσφέρειν ἐκ τῶν ἰδίων*, ut Dinarchus, sc. secundum *τίμημα* illud), quod repetitur etiam a Dinarcho (contra Aristog. 17), qui eandem fere formulam commemorat quasi ad omnium magistratuum probationem pertinentem (cf. etiam Isaei locum supra in fr. 8 appositum). sequitur igitur ut haec aut formulae magis quam rei fuisse credenda sint (cf. Boeckh, Staatsh. I, 660), aut reipublicae in pristinam Solonis formam magis aristocraticam restitutae, qualem Demetrii Phalerei tempore et postea obtinuisse consentaneum est. nisi forte temporum mutatorum rationem habens utrumque *ἀνακρίσεως* modum auctor posuit (addens fere ut Theophrastus ap. Har-

pocr. s. *Ἄρδηττος ... ὡς κατελέλυτο τὸ ἔθος τοῦτο.* cf. Philochorus in lex. rhet. Cant. p. 675, 25).

32. (369)

Poll. 3, 17: *ὁ δὲ πάππου ἢ τήθης πατὴρ πρόπαππος, ὡς Ἰσοκράτης, τάχα δ' ἂν τοῦτον τριτοπάτορα Ἀριστοτέλης καλοῖ.*

Cf. fr. 30, ubi ab archontibus quaeritur *εἰ Ἀθηναῖοί εἰσιν ἑκατέρωθεν ἐκ τριγονίας* i. e. ita ut iam ipsi *τριτοπάτορες* sive *πρόπαπποι* fuerint Athenienses. cf. Lex. rhet. Seg. p. 307, 16 *τριτοπάτορες: οἱ μὲν τοὺς πρώτους ἀρχηγέτας* (v. Phot. s. v. p. 604, 4. 605, 9), *οἱ δὲ τρίτους ἀπὸ τοῦ πατρὸς ὅπερ ἐστὶ προπάππους* (cf. Hesych. s. v.). unde in lexicis quoque (Didymi et qui sequuntur) s. v. *τριτοπ.* praeter Atthidum scriptores Aristotelem olim citatum fuisse credideris. itaque minus iam probabilis erit sententia Bournoti p. 276 ad Aristophanis *συγγενικά* haec referentis. ceterum nihil differt quam falsam sine causa dicit C. F. Hermann (Griech. Staatsalterth. §. 148, 5 ed. III) *τετραγονία* illa Asclepiadarum Aristidis (or. 7, p. 72 Dind.), quae cum tribus patribus filium quartum comprehendens archontum nobilitati comparatur: *ὥσπερ γὰρ οἱ θεσμοθέται διὰ τεττάρων εἰσὶν εὐπατρίδαι ... τέταρτοι γάρ εἰσιν ἐκ γένους* etc.

33. (370)

Harpocr. (ex quo Phot. et Suid.) s. *λίθος: Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος* (or. 54, 26 ubi tamen nunc legitur *βωμὸν*) «*τῶν τε παρόντων καθ' ἕνα ἡμῖν οὑτωσὶ καὶ πρὸς τὸν λίθον ἄγοντες καὶ ἐξορκοῦντες* (nunc *ἐξορκίζοντες*)». *ἐοίκασι δ' Ἀθηναῖοι πρός τινι λίθῳ τοὺς ὅρκους ποιεῖσθαι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Φιλόχορος ἐν τῷ γ̄* (fr. 65 Müll.) *ὑποσημαίνουσιν.*

Cf. Poll. supra in fr. 30 et Plut. Solon. 25: *κοινὸν μὲν οὖν ὤμνυεν ὅρκον ἡ βουλὴ τοὺς Σόλωνος νόμους ἐμπεδώσειν, ἴδιον δ' ἕκαστος τῶν θεσμοθετῶν ἐν ἀγορᾷ πρὸς τῷ λίθῳ καταφατίζων εἴ τι παραβαίη τῶν θεσμῶν ἀνδριάντα χρυσοῦν ἰσομέτρητον* (cf. Schoemann, Griech. Alterth. I, 416) *ἀναθήσειν ἐν Δελφοῖς.* praesens, a Poll. et Plut. mutatum, ex Aristotele servatum est in exc. Heraclid. p. 5, 15: *εἰσὶ δὲ καὶ ἐννέα ἄρχοντες θεσμοθετικοί, οἳ δοκιμασθέντες ὀμνύουσι δικαίως ἄρξειν καὶ δῶρα μὴ λήψεσθαι ἢ ἀνδριάντα χρυσοῦν ἀναθήσειν* (cf. etiam schol. in Plat. Phaedr. p. 313 Bekk. desumtum ex Hermiae comm. in Phaedr. p. 81 Ast.).

34. (371)

Pollux 8, 87—88 (cf. fr. 30): *ἰδίᾳ δὲ οἱ μὲν θεσμοθέται προγράφουσι πότε δεῖ δικάζειν τὰ δικαστήρια, καὶ τὰς εἰσαγγελίας εἰσαγ-*

γέλλουσιν εἰς τὸν δῆμον καὶ τὰς χειροτονίας, καὶ τας προβολὰς εἰσάγουσι καὶ τὰς τῶν παρανόμων γραφὰς καὶ εἴ τις μὴ ἐπιτήδειον νόμον γράψειεν, καὶ στρατηγοῖς εὐθύνας. γίνονται δὲ γραφαὶ πρὸς αὐτοὺς (cf. fr. 35) *ξενίας, δωροξενίας, δώρων, συκοφαντίας, ψευδοκλητείας, ψευδεγγραφῆς, βουλεύσεως, ἀγραφίου, μοιχείας. εἰσάγουσι δὲ καὶ δοκιμασίαν ταῖς ἀρχαῖς καὶ τοὺς ἀπεψηφισμένους καὶ τὰς ἐκ τῆς βουλῆς καταγνώσεις καὶ δίκας ἐμπορικὰς καὶ μεταλλικὰς καὶ ἐὰν δοῦλος κακῶς ἀγορεύῃ τὸν ἐλεύθερον, καὶ ταῖς ἀρχαῖς ἐπικληροῦσι τὰ δικαστήρια τὰ ἴδια καὶ τὰ δημόσια, καὶ τὰ σύμβολα τὰ πρὸς τὰς πόλεις κυροῦσι καὶ δίκας τὰς ἀπὸ συμβόλων εἰσάγουσι* (cf. fr. 36) *καὶ τὰς τῶν ψευδομαρτυριῶν τῶν ἐξ Ἀρείου πάγου.*

Cf. Harpocr. s. *θεσμοθέται: Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος* (21). *ἀρχή τίς ἐστιν Ἀθήνησιν ἡ τῶν θεσμοθετῶν ἓξ τὸν ἀριθμὸν ὄντων, εἰσὶ δὲ ἐκ τῶν καλουμένων θ̄ ἀρχόντων. καλοῦνται δὲ οὕτως ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον. θεσμοὶ δὲ ἐκαλοῦντο οἱ νόμοι, ὡς προείπομεν* (s. *θεσμός*). *ὅτι δὲ τοὺς νόμους οὗτοι διώρθουν κατ' ἐνιαυτὸν ἕκαστον εἴρηκεν Αἰσχίνης τε ἐν τῷ κατὰ Κτησιφῶντος* (38) *καὶ Θεόφραστος ἐν γ̄ νόμων. ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων* (*ἐν τῇ ᾱ Ἀθηναίων* cod. A i. e. Angelicanus) *πολιτείᾳ διέρχεται ὅσα οὗτοι πράττουσιν.*

35. (372)

Lex. rhet. Cantabrig. p. 674, 7 (Meier, Fr. lex. rhet. p. 25) *ξενίας γραφὴ καὶ δωροξενίας διαφέρει· Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ περὶ τῶν θεσμοθετῶν διαλεγόμενος «εἰσὶ δὲ καὶ γραφαὶ πρὸς* (cod. *περὶ*) *αὐτοὺς ὧν παράστασις* (cod. *περιστάσεις*) *τίθεται ξενίας καὶ δωροξενίας· ξενίας μὲν ἐάν τις κατηγορῆται ξένος εἶναι, δωροξενίας δὲ ἐάν τις δῶρα δοὺς* (cod. *διδοὺς*) *ἀποφύγῃ τὴν ξενίαν.* eademque apud Harpocr. (e quo Phot. et Suid. s. v.) s. *παράστασις: Ἰσαῖος ἐν τῷ περὶ τοῦ Πύρρου κλήρου* (47). *τοὔνομα παρὰ πολλοῖς ἐστιν Ἀττικοῖς· ἔστι δὲ δραχμὴ* (cf. Poll. 8, 39. 127. Phot. p. 384, 22. Meier, Diaeteten Athens p. 13) *καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας· Μένανδρος . . . Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ περὶ θεσμοθετῶν λέγων φησὶν οὕτως «εἰσὶ δὲ γραφαὶ πρὸς αὐτούς, ὧν παράστασις τίθεται ξενίας καὶ δωροξενίας ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν· καὶ ψευδεγγραφῆς καὶ ψευδοκλητείας καὶ βουλεύσεως καὶ ἀγραφίου* (*ἀργυρίου* codd., *γραφίου* Suid. *φίου* Suid. cod. Pal. et Phot.) *καὶ μοιχείας.» Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τοῖς περὶ νομοθεσίας* etc. cf. Harp. s. *δωροξενία: Λυσίας . . . καὶ Ἀριστοτέλης δ' ἐν τῇ Ἀθη-*

ναίων πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων γράφει ταυτί «εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς ὧν παράστασις τίθεται ξενίας καὶ δωροξενίας ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν συκοφαντίαν (ex sequentibus errore arreptum pro *ξενίαν*).» quae verba eodem ubique modo inducta unum fontem produnt (Didymum).

Quibus addenda quae colliguntur in lexicis s. *ἡγεμονία δικαστηρίου*, velut Harp. 91, 26: *πρὸς δὲ τοὺς θεσμοθέτας αἱ τῆς ξενίας τε καὶ δωροξενίας (ἐλαγχάνοντο δίκαι) καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ βουλεύσεως καὶ ἄλλων* (cf. lex. rhet. Seg. p. 310, 12. Phot. p. 59, 18). Poll. 8, 44: *δωροξενίας δὲ εἴ τις ξενίας κρινόμενος δῶρα δοὺς ἀποφύγοι.*

36. (373)

Synagog. lex. Seguer. ap. Bekk. Anecd. p. 436 *ἀπὸ συμβόλων δικάζει: Ἀθηναῖοι ἀπὸ συμβόλων ἐδίκαζον τοῖς ὑπηκόοις. οὕτως Ἀριστοτέλης* (cf. Poll. 8, 63. Boeckh, Staatsh. I, 529).

37. (374)

Poll. 8, 89 (cf. fr. 30. 34): *ὁ δὲ ἄρχων διατίθησι μὲν Διονύσια καὶ Θαργήλια μετὰ τῶν ἐπιμελητῶν, δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται κακώσεως, παρανοίας, εἰς δατητῶν αἵρεσιν* (cf. fr. 39), *ἐπιτροπῆς ὀρφανῶν, ἐπιτρόπων, καταστάσεις, κλήρων καὶ ἐπικλήρων ἐπιδικασίαι. ἐπιμελεῖται δὲ καὶ τῶν γυναικῶν αἳ ἂν φῶσιν ἐπ' ἀνδρὸς τελευτῇ κύειν, καὶ τοὺς οἴκους ἐκμισθοῖ τῶν ὀρφανῶν. ἔστι δ' ἐπώνυμος οὗτος καὶ ἀπ' αὐτοῦ ὁ χρόνος ἀριθμεῖται.*

Cf. (praeter Harp. Phot. Suid.) lex. rhet. Seg. s. *ἡγεμ. δικ.* p. 310, 1: *πρὸς τὸν ἄρχοντα κακώσεως ἐλαγχάνοντο γραφαὶ καὶ τῶν γονέων εἰ τούτους τις αἰτίαν ἔχοι κακοῦν καὶ τῶν ὀρφανῶν* (cf. Harpocr. s. *κακώσεως*, ex quo Phot. p. 126, 1 et lex. rhet. Seg. p. 269, 1), *ἔτι δὲ παρανοίας καὶ ἀργίας, καὶ ἐπιδικασίαι* (*ἀργίας ἐπιδικ. καὶ* cod.) *ἐπικλήρων γυναικῶν.* Lex. rhet. Cantabr. p. 670, 4 (p. 17 Meier) *ἐπώνυμος ἄρχων: ἀφ' οὗ ἡ πόλις χρηματίζει· ἔχει δὲ ἐπιμέλειαν χορηγοὺς καταστῆσαι εἰς Διονύσια καὶ Θαργήλια, ἐπιμελεῖται δὲ καὶ τῶν εἰς Δῆλον καὶ τῶν ἀλλαχόσε πεμπομένων Ἀθήνηθεν χορῶν. λαγχάνονται δὲ πρὸς αὐτὸν* (cod. *παρ' αὐτοῖς*) *καὶ γραφαί, καὶ δίκας εἰς τὸ δικαστήριον εἰσάγει.*

38. (375)

Harpocr. s. *εἰς ἐμφανῶν κατάστασιν: ὄνομα δίκης ἐστὶν ὑπὲρ τοῦ τὰ ἀμφισβητήσιμα εἶναι* (*θεῖναι* corr. Grashof. p. 263) *ἐν φανερῷ*

(*τὰ ἀμφισβητούμενα ἐν φανερῷ ποιῆσαι* codd. D. E et Suid.). *Ἰσαῖος ἐν τῷ περὶ τοῦ Φιλοκτήμονος κλήρου. ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ πρὸς τὸν ἄρχοντά φησι λαγχάνεσθαι ταύτην τὴν δίκην, τὸν δὲ ἀνακρίναντα* (ita em. Bekk., codd. *ἀνακρίνοντα*, praeter N. ubi *ἀνακριθέντα*) *εἰσάγειν εἰς τὸ δικαστήριον* (cf. Poll. 8, 33. Lex. rhet. Seg. p. 246, 4. Meier, Att. Proc. p. 374).

39. (376)

Harpocr. (ex quo Suid. et Lex. rhet. Seg. p. 235, 26. cf. Etym. M. p. 249, 43) s. *δατεῖσθαι: τὸ μερίζεσθαι, οἱ δὲ δατηταὶ οἱονεὶ μερισταί. τὸ δὲ εἰς δατητῶν αἵρεσιν εἶδός τι δίκης ἐστίν. ὁπότε γὰρ κοινωνοῖέν τινες ἀλλήλοις καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινά, οἱ δὲ μή, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς μὴ βουλομένοις προσκαλούμενοι εἰς δατητῶν αἵρεσιν. Λυσίας ἐν τῷ πρὸς Ἀλεξίδημον εἰ γνήσιος, καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.* cf. lex. rhet. Cantabrig. p. 667, 28 (p. 13 ed. Meier.) *εἰς δατητῶν* (*αἵρεσιν*): *πρόκλησις νεμέσεως ἢ κληρονομίας ἢ κοινοῦ τινὸς ἀγορασμοῦ· ἐπὶ τῶν διανεμόντων τὰ κοινά τισιν, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ «δίκαι λαγχάνονται πρὸς τὸν ἄρχοντα ἄλλαι τινὲς* (ita corr. Meier, cod. *ἀλλ' εἴ τις*. sunt autem excerptoris) *καὶ εἰς δατητῶν αἵρεσιν, ὅταν μὴ θέλῃ κοινὰ τὰ ὄντα νέμεσθαι* (Meier: *ὅταν ὁ μὲν θέλῃ ὁ δὲ μὴ θέλῃ τὰ κοινὰ ὄντα νέμεσθαι*). Lex. rhet. Seg. p. 310, 17 (s. *ἡγεμ. δικ.*) *οἱ διαιτηταὶ* (ita cod. cf. Meier, Att. Proc. p. 378) *πᾶσαν δίκην δικάζουσι πλὴν τῶν ξενικῶν, οἷον πρόκλησιν νεμήσεως ἐπί τινων ἢ κληρονομίας ἢ κοινὸν ἀγορασμόν. κυρίως μέντοι οἱ διανέμοντες τὰ κοινά τισιν.*

40. (377)

Harpocr. (ex quo Phot. et Suid.) s. *σῖτος: Δημοσθένης ἐν τῷ κατ' Ἀφόβου* (or. 27, 15). *σῖτος καλεῖται ἡ διδομένη πρόσοδος εἰς τροφὴν ταῖς γυναιξὶν ἢ τοῖς ὀρφανοῖς, ὡς ἐξ ἄλλων μαθεῖν ἔστι καὶ ἐκ τοῦ Σόλωνος α̅ ἄξονος* (*καὶ ἐκ Σόλωνος ἄξονον* cod. Vind. sicut Bekk. A. B. ceterum Didymus est qui citat, non Aristoteles ut Müller ad Ar. fr. 12) *καὶ ἐκ τῆς Ἀριστοτέλους Ἀθηναίων πολιτείας. Τιμαχίδας δὲ ἡγεῖται παρὰ τοῖς Ἀττικοῖς σῖτον λέγεσθαι τὸν τόκον, ἀγνοεῖ δὲ ὅτι ἐν ἀνθ' ἑνὸς οὐδέποτε παρ' αὐτοῖς ὁ τόκος σῖτος καλεῖται* (cf. Poll. 8, 33. Meier, Att. Proc. p. 426).

41. (378)

Poll. (ex quo schol. Plat. Euthyphr. p. 325) 8, 90 (cf. fr. 30. 34. 37): *ὁ δὲ βασιλεὺς μυστηρίων προέστηκε μετὰ τῶν ἐπιμελητῶν καὶ Λη-*

ναίων καὶ ἀγώνων τῶν ἐπὶ λαμπάδι καὶ τὰ περὶ τὰς πατρίους θυσίας διοικεῖ. δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται ἀσεβείας καὶ (*καὶ* add. schol. Pl.) *ἱερωσύνης ἀμφισβητήσεως. καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι* (ita schol. Pl., *ἱεροῖς* codd.) *πᾶσιν αὐτὸς δικάζει, καὶ τὰς τοῦ φόνου δίκας εἰς Ἄρειον πάγον εἰσάγει καὶ τὸν στέφανον ἀποθέμενος σὺν αὐτοῖς δικάζει. προαγορεύει δὲ τοῖς ἐν αἰτίᾳ ἀπέχεσθαι μυστηρίων καὶ τῶν ἄλλων νομίμων. δικάζει δὲ καὶ τὰς τῶν ἀψύχων δίκας* (cf. Meier. Att. Proc. p. 115). *τὴν δὲ συνοικοῦσαν αὐτῷ βασίλισσαν* (cf. Arist. apor. Hom. ap. Phrynich. p. 225 Lob.) *καλοῦσιν.*

Cf. lex. rhet. Seg. p. 219, 14 s. *βασιλεύς*: *βασιλεύς ἐστιν εἷς τῶν ἐννέα ἀρχόντων. ὁ δὲ βασιλεὺς μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν οὓς ὁ δῆμος ἐχειροτόνησε. γραφαὶ δὲ λαγχάνονται πρὸς αὐτὸν ἀσεβείας. καὶ ἄν τις ἱερωσύνης ἀμφισβητήσῃ προστιμᾷ. διαδικάζει δὲ καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι τὰς ἀμφισβητήσεις τὰς ὑπὲρ τῶν γερῶν. λαγχάνονται δὲ καὶ αἱ τοῦ φόνου δίκαι πᾶσαι πρὸς τοῦτον.* Phot. (= Suid., cf. lex. rhet. Seg. p. 310, 6) s. *ἡγεμονία δικαστηρίου* p. 59, 11: *τῷ μέντοι γε βασιλεῖ τάς τε φονικὰς καὶ τὰς τῆς ἀσεβείας καὶ ἄν τις ἱερωσύνης ἠμφισβήτει, πρότερον δὲ καὶ τὰς περὶ τῶν ἱερῶν* (*γερῶν* Meier, Att. Proc. p. 49) *τοῖς ἱερεῦσιν ἀμφισβητήσεις. προηγόρευε δὲ καὶ τῶν νομίμων εἴργεσθαι τοὺς ἐν αἰτίᾳ* (cf. ib. v. 24).

42. (379)

Harpocrat. (ex quo Suid. et Etym. M. p. 362, 10) s. *ἐπιμελητὴς τῶν μυστηρίων*: *παρ' Ἀθηναίοις ὁ λεγόμενος βασιλεύς. Δημοσθένης κατὰ Μειδίου* (171). *Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ φησὶν οὕτως «ὁ δὲ βασιλεὺς πρῶτον μὲν τῶν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν οὓς ὁ δῆμος ἐχειροτόνει* (leg. *χειροτονεῖ* cum Bekk. et Müllero. deinde Suid. et Et. M. addunt *τέσσαρες δὲ ἦσαν, δύο μὲν* etc.), *δύο μὲν ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' ἐξ Εὐμολπιδῶν, ἕνα δ' ἐκ Κηρύκων.»*

43. (380)

Poll. 8, 91 (cf. fr. 30. 34. 37. 41): *ὁ δὲ πολέμαρχος θύει μὲν Ἀρτέμιδι ἀγροτέρᾳ καὶ τῷ Ἐνυαλίῳ* (cf. lex. rhet. Seg. p. 290, 28), *διατίθησι δὲ τὸν ἐπιτάφιον ἀγῶνα τῶν ἐν πολέμῳ ἀποθανόντων καὶ τοῖς περὶ Ἁρμόδιον* (i. e. Harmodio et Aristogitoni) *ἐναγίζει. δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται μετοίκων, ἰσοτελῶν,* (*ξένων* add. Meier. Att. Proc. p. 52. cf. 54), *προξένων. καὶ διανέμει τὸ λαχόν, ἑκάστῃ φυλῇ τι μέρος, τὸ μὲν διαιτηταῖς παραδιδούς, εἰσάγων δὲ δίκας ἀποστασίου, ἀπροστασίου, κλήρων μετοίκων.*

Haec patet quantum excerpendo et contrahendo mutilata sint sive a Polluce sive ab eo quo ipse usus est (cf. Hudtwalcker, Diaeteten in Athen. Jena 1812. p. 68. Meier, Att. Proc. p. 52, idemque, Die Privatschiedsrichter u. die öff. Diaeteten Athens. Halle 1846. p. 19).

44. (381)

Harpocrat. (e quo Phot. et Suid., cf. s. *ἡγεμ. δικ.* lex. rhet. Seg. p. 310, 9. Phot. p. 59, 16. Harp. p. 91, 25. praeterea s. *Λυκαμβίς* Hesych. et Phot.) s. *πολέμαρχος*: *Ἰσαῖος ἐν ἀπολογίᾳ ἀποστασίου πρὸς Ἀπολλόδωρον. ἀρχή τις ἦν παρ' Ἀθηναίοις οὕτω καλουμένη, ἔστι δὲ εἷς τῶν θ̄ ἀρχόντων. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διεξελθὼν ὅσα διοικεῖ ὁ πολέμαρχος* (cf. inscriptiones capitum in Pollucis codd. *ὅσα ποιεῖ ὁ πολέμαρχος* etc.) «*πρὸς ταῦτα, φησίν, αὐτός τε εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις, καὶ τἆλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος*». *εἰκότως οὖν ὁ ῥήτωρ ἐν τῷ προειρημένῳ λόγῳ ἐγγυῆσαί φησι πρὸς τῷ πολεμάρχῳ Ἀπολλόδωρον· ὁ γὰρ Σάμιος τὸ γένος μέτοικος ἦν* et cetera quae ex commentario (Didymi) ad Isaeum omnia exscripta esse fidem faciunt. idem Aristotelis locus redit apud Harp. s. *ἀποστασίου*: *δίκη τίς ἐστι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν ἐὰν ἀφιστῶνταί τε ἀπ' αὐτῶν ἢ* (*καὶ* lex. rh. Seg.) *ἕτερον ἐπιγράφωνται προστάτην καὶ ἃ κελεύουσιν οἱ νόμοι* (*ποιεῖν τοὺς ἀπελευθέρους τοῖς ἀπελευθερώσασι* add. lex. rhet. Seg. planius ut solet exponens) *μὴ ποιῶσιν. καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι, τοὺς δὲ νικήσαντας τελέως ἤδη ἐλευθέρους* (reliqua om. Suid. et lex. rhet. Seg. p. 201, 5). *πολλάκις δ' ἐστὶ παρὰ τοῖς ῥήτορσι, παρὰ τῷ Λυσίᾳ ἐν τῷ πρὸς Ἀριστόδημον καὶ Ὑπερίδῃ ἐν τῷ κατὰ Δημητρίας ἀποστασίου. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ περὶ τοῦ πολεμάρχου γράφει ταυτί· «οὗτος δὲ εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων* (sc. *τοῖς μετοίκοις*)». cf. Harp. (e quo lex rhet. Seg. p. 201, 12) s. *ἀπροστασίου*: *εἶδος δίκης κατὰ τῶν προστάτην μὴ νεμόντων μετοίκων· ᾑρεῖτο γὰρ ἕκαστος ἑαυτῷ τῶν πολιτῶν τινὰ προστησόμενον περὶ πάντων τῶν ἰδίων καὶ τῶν κοινῶν. Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας ἀπροστασίου β̄* (cf. Suid. s. *ἀποστασίου δίκη* gloss. alt., Synag. lex. Seg. p. 435, 1 Bekk.). Poll. 8, 35: *ἀποστασίου δὲ δίκη κατὰ τῶν ἀφισταμένων ἀπελευθέρων, ἀπροστασίου δὲ κατὰ τῶν οὐ νεμόντων προστάτην μετοίκων.*

45. (382)

Harpocr. (e quo Phot. et Suid. eundem Ar. locum habet Hesych. s. *εὐθύνας*, sed manifesto interpolatum et a tertia manu, ut ait Schow Hes. lex. restit. p. 315, ad marg. cod. ex Harpocr. adiectum) s. *πάρεδρος*: *Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. πολύ ἐστι τοὔνομα παρά τε τοῖς ῥήτορσι καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ « λαμβάνουσι δὲ καὶ παρέδρους ὅ τε ἄρχων καὶ ὁ πολέμαρχος, δύο ἑκάτερος* (quod quum excerptoris negligentia excidisset *ὁ βασιλεύς*, postea illatum est pro *ἕκαστος*, v. Meier. Att. Proc. p. 57) *οὓς ἂν βούληται. καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν καὶ εὐθύνας διδόασιν ἐπὰν παρεδρεύωσιν* (*παρεδρεύσωσιν* corr. Alberti ad Hesych. et Bekk.).

Cf. Poll. 8, 92: *πάρεδροι δ' ὀνομάζονται οὓς αἱροῦνται ἄρχων καὶ βασιλεὺς καὶ πολέμαρχος, δύο ἕκαστος οὓς βούλεται. δοκιμασθῆναι δ' αὐτοὺς ἐχρῆν ἐν τοῖς πεντακοσίοις, εἶτ' ἐν δικαστηρίῳ. προσαιροῦνται δὲ καὶ γραμματέα, ὃς ἐννόμῳ δικαστηρίῳ κρίνεται.* qui Pollucis locus ita et cum superioribus cohaeret et similis est Harpocrationi ut ad Aristotelem fontem iure referatur. nec nisi archontum descriptioni subiungi potest. verbis *καὶ οὗτοι* respicitur ad fr. 30 (cf. Demosth. or. 20, 90). iam sequuntur (ut apud Pollucem) ceteri magistratus quos *χειροτονοῦσιν οἱ θεσμοθέται* (cf. supra fr. 30). de athlothetis v. Poll. 8, 93. de strategis et similibus cf. Aeschin. adv. Ctes. 13, Dem. or. 4, 26.

46. (383)

Harpocr. s. *στρατηγοί*: *Δημοσθένης Φιλιππικοῖς. οἱ καθ' ἕκαστον ἐνιαυτὸν χειροτονούμενοι στρατηγοὶ δέκα ἦσαν, ὡς μαθεῖν ἔστιν ἔκ τε τῶν Ὑπερίδου κατ' Αὐτοκλέους καὶ ἐκ τῆς Ἀθηναίων πολιτείας Ἀριστοτέλους* (cf. fr. 30).

47. (384)

Harpocr. s. *ἵππαρχος* . . . *λέγεται δὲ παρ' Ἀθηναίοις ἵππαρχος καὶ ὁ τῶν ἱππέων ἄρχων· δύο δ' ἦσαν οὗτοι, ὡς Δημοσθένης ἐν δ̄ Φιλιππικῶν* (Phil. I, 26) *φησὶ καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.*

Cf. Phot. s. *ἵππαρχοι*: *δύο ἦσαν, οἳ τῶν ἱππέων ἡγοῦντο διελόμενοι τὰς φυλὰς ἑκάτερος ἀνὰ πέντε. ἐπιμεληταὶ δέ εἰσι τῶν ἱππέων* (add. *οἱ φύλαρχοι*, e Poll. 8, 94), *καθάπερ οἱ ταξίαρχοι δέκα ὄντες, εἷς ἐφ' ἑκάστης φυλῆς, τῶν ὁπλιτῶν.*

48. (385)

Harpocr. s. *φύλαρχος*: *Δημοσθένης Φιλιππικοῖς* (l. c. fr. 47. 46).

φύλαρχός ἐστιν ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος δὲ τῷ ἱππάρχῳ, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησί.

Cf. Phot. s. *ἵππαρχοι* (fr. 47) et Poll. 8, 94: *ἵππαρχοι δὲ δύο ἐξ ἁπάντων Ἀθηναίων αἱρεθέντες ἐπιμελοῦνται τῶν πολέμων. οἱ δὲ φύλαρχοι δέκα, εἷς ἀπὸ φυλῆς ἑκάστης, τῶν ἱππέων προΐστανται, καθάπερ οἱ ταξίαρχοι τῶν ὁπλιτῶν.*

Haec omnia (fr. 46—48) fortasse ad eundem illum locum pertinent quem tangit Pollux (v. fr. 30) magistratus militares obiter commemorantem, ita ut rectius post fr. 33 inserantur. ceterum lexica praeter Photium s. *ἱππ.* de his nihil praebent nisi quae ex Harpocratione ducta sint, Aristotelis tamen mentione neglecta.

49. (386)

Harpocr. (ex quo Phot. p. 467, 13 et Suid., Arist. nomine om., Etym. M. p. 693, 42 ubi corrigas *οὕτως Ἀριστοτέλης* pro Aristophane. cf. Eudemi lex. synag. s. v.) s. *πρυτανείας*: *Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ἔστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία ἤτοι* (*ἐκ* add. cod. Vind. et Bekk. C. *λη̅* in A pro *λ̅ϛ̅*) *λ̅ϛ̅ ἢ λ̅ε̅ καὶ ἑκάστη φυλὴ πρυτανεύει. διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.*

Cf. schol. in Plat. legg. (p. 953, ubi non nisi *πρυτάνεις* commemorantur) p. 459 Bekk. (e lexico quodam translatum, Diogeniani scil. in scholiis interdum citati): *πρυτάνεις εἰσὶ μέρος τι τῶν πεντακοσίων τὸ δέκατον, πεντήκοντα ἄνδρες* [*ἀπὸ μιᾶς φυλῆς* add. Et. M., Lex. Seg. et Harp.], *οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα, καὶ ἐπρυτάνευον κατὰ πρυτανείαν ἐκ διαδοχῆς* [*ἀλλήλων* s. *ἀλλήλαις αἱ δέκα φυλαὶ κλήρῳ λαχοῦσαι κατὰ ἐνιαυτὸν* add. Etym. M. p. 693, 53. Lex. Seg. p. 291, 4 et Harp. s. *πρυτάνεις*, qui reliqua omittunt praeter fragmentum s. *πρυτανείας* appositum]. *πρυτανεία δέ ἐστιν ἀριθμός τις ἡμερῶν ἤτοι λ̅ϛ̅* [*ἢ λ̅η̅*, cf. cod. A Harp.] *ἢ λ̅ε̅, ἃς ἑκάστη φυλὴ πρυτανεύειν λέγεται* (haec ut in lex. Seg. p. 291, 13. quae sequuntur paulo mutata sunt apud Phot. p. 467, 20 s. *πρυτανεία* = Suid.). *ι̅β̅ μὲν γὰρ οἱ μῆνες, ι̅ δέ εἰσι πρυτανεῖαι καὶ φυλαὶ ι̅. καὶ διῄρηνται εἰς ταύτας αἱ ἡμέραι τοῦ ἐνιαυτοῦ· κατὰ γὰρ σελήνην ἄγουσι τοῦτον, ὡς ἑκάστῃ φυλῇ ἐπιβάλλειν λ̅ε̅ ἡμέρας, πλεονάζειν δὲ ὀλίγας* (*καὶ ἐπερίττευον . . . ἡμέραι δ̅* Phot. et Suid.). *διὸ καὶ τὰς λοιπὰς ἀπέδωκαν* (*ἐπεμέριζον* Phot. Suid.) *οἱ Ἀθηναῖοι ταῖς πρώταις λαχούσαις* [*πρυτανεύειν* add. Phot. Suid.] *τέσσαρσι φυλαῖς, ἵνα ἐκείνων μὲν ἑκάστη τὰς λ̅ϛ̅ ἡμέρας πρυτανεύῃ, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ λ̅ε̅. πρυτανεῖα δὲ οὐδετέρως*

οὐχ εὕρηται· τινὲς δὲ ἀργύριόν τι ὃ κατατίθεται ὑπὸ τῶν δικαζομένων καὶ δίδοται δικαστικὸν τοῖς ἑξακισχιλίοις (cum his ultimis praeter Photium et Suidam qui partim ex lexico hic exscripto partim ex Harpocratione sua componit, cf. Harp. s. *πρυτανεῖα* et infra fr. 77). cf. etiam schol. in Aeschin. adv. Ctes. p. 79, 8 Dind. (Ox. 1852).

50. (387)

Poll. 8, 95—96 ed. Bekk.: *πρυτάνεις. οὗτοι τὴν βουλὴν συνάγουσιν ὁσημέραι, πλὴν ἄν τις ᾖ ἄφετος, τὸν δὲ δῆμον τετράκις ἑκάστης πρυτανείας· καὶ προγράφουσι πρὸ τῆς βουλῆς καὶ πρὸ τῆς ἐκκλησίας ὑπὲρ ὧν δεῖ χρηματίζειν. τῶν δ' ἐκκλησιῶν ἡ μὲν κυρία* (cf. fr. 51. 52), *ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονοῦσιν εἴπερ καλῶς ἄρχουσιν, ἢ ἀποχειροτονοῦσιν· ἐν ᾗ καὶ τὰς εἰσαγγελίας ὁ βουλόμενος εἰσαγγέλλει, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκουσιν οἱ πρὸς ταῖς δίκαις καὶ τὰς λήξεις τῶν κλήρων. ἡ δὲ δευτέρα ἐκκλησία ἀνεῖται τοῖς βουλομένοις, ἱκετηρίαν θεμένοις, λέγειν ἀδεῶς περί τε τῶν ἰδίων καὶ τῶν δημοσίων. ἡ δὲ τρίτη κήρυξι καὶ πρεσβείαις ἀξιοῖ χρηματίζειν, οὓς δεῖ πρότερον τοῖς πρυτάνεσιν ἀποδοῦναι τὰ γράμματα. ἡ δὲ τετάρτη περὶ ἱερῶν καὶ ὁσίων. ἐπιστάτης* (cf. fr. 53) *δ' ἐστὶν εἷς τῶν πρυτάνεων, ὁ κλήρῳ λαχών. δὶς δ' οὐκ ἔξεστι γενέσθαι τὸν αὐτὸν ἐπιστάτην. ἔχει δὲ οὗτος τῶν ἱερῶν τὰς κλεῖς ἐν οἷς τὰ χρήματα καὶ τὰ γράμματα. καὶ ὅταν οἱ πρυτάνεις τὸν δῆμον ἢ τὴν βουλὴν συνάγωσιν, οὗτος ἐξ ἑκάστης φυλῆς πρόεδρον* (cf. fr. 54) *ἕνα κληροῖ, μόνην τὴν πρυτανεύουσαν ἀφιείς.*

Haec ex Aristotele rursus uno tenore sumta esse Harpocrationem (v. fr. 51—54) comparanti patet. atque confirmatur una fragmentorum quae sequuntur ordo manifesto cohaerentium.

51. (388)

Harpocrat. (ex quo Phot. p. 190, 22 et Suid. om. Arist. nom.) s. *κυρία ἐκκλησία: Ὑπερίδης ἐν τῷ κατὰ Δημέου ξενίας εἰ γνήσιος. τίνες δὲ αἱ κύριαι ἐκκλησίαι Ἀριστοτέλης δεδήλωκεν ἐν τῇ Ἀθηναίων πολιτείᾳ λέγων τοὺς πρυτάνεις συνάγειν τὴν βουλὴν καὶ τὸν δῆμον, τὴν μὲν βουλὴν ὁσημέραι, πλὴν ἐάν τις ἀφέσιμος ᾖ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. «προγράφουσι* (ita Bekk. et Poll., codd. *προσγράφουσι*) *δέ, φησί, καὶ κυρίαν ἐκκλησίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν οἳ δοκοῦσι μὴ καλῶς ἄρχειν· καὶ περὶ φυλακῆς δὲ τῆς χώρας». καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαί φησι καὶ τὰ ἑξῆς.*

Cf. Hesych. s. *κυρία ἐκκλησία ἤγετο Ἀθήνησιν ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονεῖν ἔδει.* eademque, licet errore corrupta (*ἐν ᾗ τοὺς ἄρχοντας ἐχειροτόνουν* pro *ἐπεχ.*, quibus explicandis addita sunt apud Phot. et Lex. Seg. quae ad *ἀρχαιρεσίας* spectant), in ceteris lexicis Phot. p. 191, 8. Lex. rhet. Seg. p. 274, 19. Etym. M. p. 549, 5. in quorum fonte communi exstabant olim de ecclesiis extraordinariis (*σύγκλητοι* vocantur) quae unus nunc indicat Photius ita pergens: *ἄλλοι δέ φασιν* etc. atque uberiora habentur in schol. Aristoph. Acharn. 19 (ex quo Suid. s. *ἐκκλησία κυρία*) cf. schol. in Aeschin. Tim. p. 21, 2 Dind.

52. (389)

Lex. rhet. Cantabrig. p. 672, 3 (post Phot. ed. Oxon., p. 21 ed. Meier.) *κυρία ἐκκλησία: Δημήτριος ὁ Φαληρεὺς ἐν τῷ δευτέρῳ περὶ τῆς Ἀθηναίων νομοθεσίας . . . ἄμεινον οὖν Ἀριστοτέλει* [add. *πείθεσθαι*]· *τὰς γὰρ ἀρχὰς ἐν ταῖς κυρίαις ἐκκλησίαις φησὶν ἐπιχειροτονεῖσθαι* (cod. *ἔφησεν χειρ.*) *καὶ τὰς εἰσαγγελίας* [supplendum esse ex Harp. et Poll. *τὸν βουλόμενον ποιεῖσθαι* sive *εἰσαγγέλλειν* vidit Meier l. c.], *καὶ τὰ ἄλλα* (cod. *τὰς ἄλλας*) *τῶν ἀναγκαίων χρηματίζειν καὶ περὶ σίτου* [add. *καὶ*] *φυλακῆς τῆς χώρας, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκειν καὶ τὰς λήξεις* (cod. *δείξεις*) *τῶν κλήρων. ἐπὶ δὲ τῆς ἕκτης* (cf. Philoch. ibid. p. 675, 13 = p. 29 Meier et apud schol. Aristoph. eq. 855) *πρυτανείας πρὸς τοῖς εἰρημένοις καὶ περὶ τῆς ὀστρακοφορίας προχειροτονίαν* (cod. *ἐπιχειρ.*) *δίδοσθαι εἰ δοκεῖ ἢ μή* (scil. *τὸ ὄστρακον εἰσφέρειν*, sicut legitur p. 675, 14).

53. (390)

Harpocr. (e quo lex. rhet. Seg. p. 244, 32. Etym. M. p. 364, 40 et Suid., om. Ar. nom.) s. *ἐπιστάτης: Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. δύο εἰσὶν οἱ καθιστάμενοι ἐπιστάται, ὧν ὁ μὲν ἐκ πρυτάνεων κληρούμενος, ὁ δὲ ἐκ τῶν προέδρων, ὧν ἑκάτερος τίνα διοίκησιν διοικεῖ δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. ἐλέγετο δ' ἐν τοῖς κοινοῖς καὶ ὁ ἐφεστηκὼς πράγματι ὁτῳοῦν* etc.

Cf. Suid. (= Poll. in fr. 50) s. *ἐπιστάτης: τῶν πρυτάνεων εἷς ὁ λαχὼν ἐπιστάτης ἐλέγετο. δὶς δὲ τὸν αὐτὸν ἐπιστατῆσαι οὐκ ἐξῆν. φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς ἐν ᾧ τὰ δημόσια χρήματα, ἔτι μὴν καὶ τὴν δημοσίαν σφραγῖδα* (haec Harpocrationeis inserit etiam Etym. M. p. 364, 41). *ἐπειδὰν δὲ οἱ πρυτάνεις συναγάγωσι τὴν βουλὴν ἢ τὸν δῆμον, ὁ ἐπιστάτης κληροῖ προέδρους ἐννέα, ἀπὸ φυλῆς ἑκάστης ἕνα πλὴν τῆς πρυτανευούσης. καὶ πάλιν ἐκ τῶν ἐννέα τούτων ἐπιστάτην ἕνα κληροῖ*

καὶ τὸ πρᾶγμα παραδίδωσιν, αὐτὸς δὲ εἰσάγει τὴν δίκην καὶ ἐπιμελεῖται κατὰ νόμον πάντα γενέσθαι καὶ μηδὲν παραλειφθῆναι πρὸς τὸ διδαχθῆναι τοὺς δικαστάς. eadem Telephus quem citat Eustath. in Odyss. ρ, 455 (p. 1827 Rom.): προσενθυμητέον δὲ καὶ Τηλέφου τοῦ ὡς ἱστορεῖται Περγαμηνοῦ, ὅτι κατὰ τὴν ἐκείνου παράδοσιν νομική τις ἦν λέξις ἢ τεχνικὴ ἐν τοῖς μεθ' Ὅμηρον ὁ ἐπιστάτης· γίνεται γάρ φησιν Ἀθήνησιν ἐκ τῶν πρυτάνεων εἷς ὃς ἐπιστατεῖ νύκτα καὶ ἡμέραν μίαν, καὶ πλείω χρόνον οὐκ ἔξεστιν οὐδὲ δὶς τὸν αὐτὸν γενέσθαι, τάς τε κλεῖς [add. τῶν ἱερῶν] ἐν οἷς τὰ χρήματά εἰσι φυλάττει καὶ τὰ γράμματα τῆς πόλεως καὶ τὴν δημοσίαν σφραγῖδα. κληροῖ δὲ καὶ προέδρους ἐξ ἑκάστης φυλῆς ἕνα πλὴν τῆς πρυτανευούσης καὶ πάλιν ἐκ τούτων ἐπιστάτην ἕνα. καὶ τοιαῦτα μὲν ταῦτα. ἕτεροι δὲ ἐπιστάτην φασὶ ξύλινόν τι etc.

E Didymo Harpocrationea illa (aliaque in ceteris lexicis) repetenda esse ut intelligas vestigia relicta sunt apud Hesych. s. ἐπιστάτης: ἐφέτης ἢ ἐπαίτης, ἀπὸ τοῦ ἐφίστασθαι, ἢ ἐπίτροπος ἢ διδάσκαλος (cf. Antiphanis ex. ap. Antiatt. Bekk. p. 96, 12) καὶ ὁ τακτικὸς καὶ ὁ βραβευτὴς καὶ ἄρχων τις Ἀθήνησι καὶ ὁ ἐφεστηκώς. ubi sicut ultima Harpocrationi respondent, ita prima (ἐπαίτης, διδάσκαλος) Eustathio quoque prima sunt, quibus varias vocis ἐπιστάτης significationes explicet. atque omnis Eustathii locus, qui quae ex eodem fonte, separata tamen habet Suidas (in gloss. b et c ed. Bekkeri), inter se coniungit, ex lexico quodam desumtus esse videtur satis docto et accurato atque Aristophanem comicum et Callistratum citante una cum Telepho Pergameno (qui grammaticus librorumque multorum compilator scripsit περὶ τῶν Ἀθήνησι νόμων καὶ ἐθῶν cf. Müller, Fr. hist. III, 635) et Aristophane grammatico (quae nomina Suidas omisit). quod quidem lexicon, si Veri praeceptor est Telephus ille, recentius quidem fuerit Diogeniano eius aequali, attamen ex eadem lexicorum uberrima progenie quae Didymi labori et Pamphilo debetur. Telephum autem cuius verba et apud Suidam et apud Eustathium servata sunt et ipsum eis quae ex Aristotelis Athen. rep. tradebantur usum esse patet.

54. (391)

Harpocrat. (e quo Phot. p. 451, 4 et Suid., eademque brevius ex alio quod eundem Harpocrationem vel eius fontem sequebatur lexico in glossa altera Photii p. 451, 24 et Lex. rhet. Seg. p. 290, 8) s. πρόεδροι ἐκληροῦντο τῶν πρυτάνεων καθ' ἑκάστην πρυτανείαν (ἐκκλησίαν Phot. p. 452, 2 et lex. Seg.) εἷς ἐξ ἑκάστης φυλῆς πλὴν τῆς πρυτανευούσης, οἵ

τινες τὰ περὶ τὰς ἐκκλησίας (*τὴν ἐκκλησίαν* codd. praeter D) *διῴκουν. ἐκαλοῦντο δὲ πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. πολλάκις δ' ἐστὶ τοὔνομα παρὰ τοῖς ῥήτορσι, ὡς καὶ παρὰ Δημοσθένει ἐν τῷ κατ' Ἀνδροτίωνος* (9) *καὶ Αἰσχίνῃ ἐν τῷ κατὰ Κτησιφῶντος* (4). *ὅτι δ' ὁ καλούμενος ἐπιστάτης κληροῖ αὐτούς, εἴρηκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.*

55. (392)

Harpocr. s. *γραμματεύς: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ὁ γραμματεὺς πῶς τε καθίστατο καὶ τί ἔπραττεν, ὡς τῶν γραμμάτων τ' ἐστὶ κύριος καὶ τὰ ψηφίσματα τὰ γενόμενα φυλάττει καὶ τὰ ἄλλα πάντα ἀντιγράφεται καὶ παρακάθηται τῇ βουλῇ, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.* quibus ultimis quum describatur non iam ὁ *γραμματεὺς τῆς βουλῆς* (is quidem qui vocatur *ὁ κατὰ πρυτανείαν* cf. Boeckh, Staatsh. I, 254), sed *ὁ ἀντιγραφεύς*, de hoc eodem post scribas ordine qui est apud Pollucem et Aristotelem et eum quem Harpocration sequitur egisse patet: quae uno obtutu comprehendens Harpocration confudit. ita autem Pollux 8, 98: *γραμματεὺς ὁ κατὰ πρυτανείαν κληρωθεὶς ὑπὸ τῆς βουλῆς ἐπὶ τῷ τὰ γράμματα φυλάττειν καὶ τὰ ψηφίσματα, καὶ ἕτερος* (cf. Boeckh I, 258) *ἐπὶ τοὺς νόμους ὑπὸ τῆς βουλῆς χειροτονούμενους. ὁ δ' ὑπὸ τοῦ δήμου αἱρεθεὶς γραμματεὺς ἀναγινώσκει τῷ τε δήμῳ καὶ τῇ βουλῇ* (cf. Boeckh I, 259). *ἀντιγραφεὺς πρότερον μὲν αἱρετός, αὖθις δὲ κληρωτὸς ἦν καὶ πάντα ἀντεγράφετο παρακαθήμενος τῇ βουλῇ. δύο δ' ἦσαν, ὁ μὲν τῆς βουλῆς, ὁ δὲ τῆς διοικήσεως.*

Quae de tertio scriba (qui non fuerit senator, cf. Schoemann, Griech. Alt. I, 380, not. 3) occasione data apud lexicographum Pollucis addebantur, ad hunc Aristotelis locum qui est de senatu non pertinent, et dubium est num ad Aristotelem. certe alienus est ab Aristotele (et a senatu) *ὁ ἀντιγραφεὺς τῆς διοικήσεως* (cf. Boeckh I, 262), cuius notitiam e Philochoro derivatam esse (atque ita a Didymo Aristoteli coniunctam) geminus plane Harpocrationis (e quo Suidas) locus testatur s. *ἀντιγραφεύς: ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα ὥστε ἀντιγράφεσθαι ταῦτα. Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος* (70) *καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος* (25). *διττοὶ δὲ ἦσαν ἀντιγραφεῖς, ὁ μὲν τῆς διοικήσεως, ὥς φησι Φιλόχορος, ὁ δὲ τῆς βουλῆς, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ* (ubi in altera illa cod. E recensione, qua Suidas utitur, haec tantum: *διττοὶ δὲ ἦσαν, ὁ μὲν τῆς διοικήσεως, ὁ δὲ τῆς βουλῆς*). ceterum *ὁ ἀντιγραφεύς* cum tertio scriba eodem modo componitur etiam apud Suidam (cf. lex. rhet. Seg. p. 226, 30 et *δικῶν*

ὀνόματα cod. Seg. in eisdem Bekkeri Anecd. I p. 185, 14) s. *γραμματεύς*: οὗτος πράξεως μὲν οὐδεμιᾶς ἦν κύριος, ὑπανεγίνωσκε δὲ τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ πραττόμενα. ὁ δ' ἀντιγραφεὺς καὶ οὗτος (sic) ἀπὸ τοῦ γράφειν τὰ παρὰ τῇ βουλῇ ὠνόμασται.

56. (393)

Harpocrat. (e quo Suid., Ar. nom. om.) s. *ἀποδέκται*: ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις οἱ ἀποδέκται, ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες καὶ οἱ κωμικοί. *Ἀριστοτέλης* δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ δεδήλωκεν ὡς δέκα τε εἶησαν καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ. καὶ *ἁπλῶς ἃ πράττουσι διασαφεῖ.* ὅτι δὲ ἀντὶ τῶν κωλακρετῶν οἱ ἀποδέκται ὑπὸ Κλεισθένους ἀπεδείχθησαν, Ἀνδροτίων β.

E lexico quodam rhetorico eoque communi lexicorum recentiorum fonte similia nunc leguntur in Lex. rhet. Seg. p. 198, 1 (Etym. M. p. 124, 41. Zonaras p. 234. Synag. lex. Seg. p. 427, 13) ἀποδέκται: ἄρχοντες κληρωτοί, δέκα τὸν ἀριθμὸν κατὰ φυλήν εἰσιν, οἵτινες παρελάμβανον καὶ ἀπεδέχοντο τὰ γραμματεῖα τῶν ὀφειλόντων τῷ δημοσίῳ. διὰ τοῦτο γὰρ καὶ ἀποδέκται ἐκαλοῦντο. εἶτα ἐξήταζον τά τε ὀφειλόμενα καὶ τὰ ἀποδιδόμενα χρήματα σὺν τῇ βουλῇ καὶ ἐμέριζον εἰς ἃ χρὴ ἀναλίσκειν (καὶ γενομένης τῆς καταβολῆς τῶν ὀφειλομένων χρημάτων ἀπήλειφον τὰ γράμματα δημοσίᾳ, ut addit Suidas in gl. alt. s. v. ed. Bernh. t. I. p. 594 not.). Hesychii explicatio (ἀρχὴ Ἀθήνησι τῶν ὑποδεχομένων τὰ χρήματα) licet brevissima communis tamen cum Polluce originis vestigia gerit, qui (8, 97) ipsius negotii descriptione neglecta de litibus inde obortis alia addit haec: ἀποδέκται δὲ ἦσαν δέκα οἳ τοὺς φόρους καὶ τὰς εἰσφορὰς καὶ τὰ τέλη ὑπεδέχοντο, καὶ τὰ περὶ τούτων ἀμφισβητούμενα ἐδίκαζον· εἰ δέ τι μεῖζον εἴη, εἰσῆγον εἰς δικαστήριον (cf. Boeckh, Staatsh. I, 214).

57. (394)

Harpocr. (e quo Phot. Suid. om. Ar. nom., cf. lex. rhet. Seg. p. 291, 17) s. *πωληταὶ καὶ πωλητήριον*: οἱ μὲν πωληταὶ ἀρχή τίς ἐστιν Ἀθήνησι, δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης. διοικοῦσι (πωλοῦσι lex. Seg., Et. M.) δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ τὰ δημευόμενα (quibus lex. Seg. add. καὶ φροντίζουσιν ὅπως ἡ τιμὴ τῶν πιπρασκομένων ἀποδοθῇ τῇ πόλει, cf. ex eodem fonte Etym. M. p. 698, 57 πωληταί: ἀρχή τις Ἀθήνησι οἳ τὰ τῆς πόλεως πωλοῦσι καὶ φροντίζουσιν ἀποδι-

δόντες τῇ πόλει)· Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας β̄. διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. πωλητήριον δὲ καλεῖται ὁ τόπος ἔνθα συνεδρεύουσιν οἱ πωληταί. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου πολλάκις.

Accuratius singula negotii exempla quae comprehendit Harpocration describebantur in lexico rhetorico, unde quaedam altera glossa Photii (p. 478, 5) et Suidae retinuit s. *πωληταί: οὗτοι τῶν ὀφειλόντων τῷ δημοσίῳ κατὰ προθεσμίαν καὶ μὴ ἀποδιδόντων ἐπίπρασκον τὰς οὐσίας· ὑπέκειντο δὲ τοῖς πωληταῖς καὶ ὅσοι τὸ διαγραφὲν ἀργύριον ἐν πολέμῳ μὴ εἰσέφερον, ἔτι καὶ οἱ ξενίας ἁλόντες, καὶ ὁ μέτοικος* (cf. infra Poll. et Hes.) *προστάτην οὐκ ἔχων, καὶ ὁ ἀποστασίου γραφείς· τούτων γὰρ τὰς οὐσίας πωλοῦντες παρακατέβαλλον εἰς τὸ δημόσιον.* rursus alia partim comprehendens partim seligens e diversis fontis Didymei auctoribus, velut Demosthene, Pollux 8, 99: *πωληταὶ τὰ τέλη πιπράσκουσι μετὰ τῶν ἐπὶ τὸ θεωρικὸν ᾑρημένων, καὶ τὰς τῶν ἐξ Ἀρείου πάγου μετὰ τὸν πρότερον λόγον φυγόντων οὐσίας καὶ τὰ δεδημευμένα. πρυτανεύει δὲ ἐξ αὐτῶν εἷς ὃς τὰ πωλούμενα βεβαιοῖ. ἀπήγοντο δὲ πρὸς τούτους καὶ οἱ μετοίκιον μὴ τιθέντες* (quae verbotenus consentiunt cum Harpocr. s. *μετοίκιον* p. 127, 11 Bekk. *οἱ μέντοι μὴ τιθέντες τὸ μετοίκιον μέτοικοι ἀπήγοντο πρὸς τοὺς πωλητὰς καὶ εἰ ἑάλωσαν ἐπιπράσκοντο, ὥς φησι Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος* (or. 25, 57—58). de quibus Diogenianum et quos ille sequitur egisse testis est exilis Hesychii glossa *πωληταί: οὗτοι ἐπώλουν τὰ ἐνεχυρασθέντα. ἀρχή τις.* ceterum cf. Boeckh, Staatshaush. I, 209.

58. (395)

Harpocrat. (e quo Phot., Et. M. p. 745, 16, Philemon. lex. technol. ed. Osann. p. 150, Suidas) s. *ταμίαι: Ἰσαῖος ἔν τινι τῶν κληρικῶν. ἀρχή τις παρ' Ἀθηναίοις ἦν οἱ ταμίαι, δέκα τὸν ἀριθμόν. παραλαμβάνουσι δ' οὗτοι τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. εἰσὶ δέ τινες καὶ τῶν* (scil. *ἱερῶν*) *τριήρων ταμίαι, ὡς ὁ αὐτὸς φιλόσοφός φησιν. ὅτι δὲ καὶ τοῖς τριηράρχοις παρείποντο ταμίαι δεδήλωκεν Εὔπολις ἐν Μαρικᾷ.*

Praeter glossam e Harpocratione ductam alteram apponunt Phot. p. 567, 18 et Suidas (ex parte etiam Lex. rhet. Seg. p. 306, 7) qua eadem traduntur, at ex alio quodam lexico cuius auctor Harpocrationis (Pollucisque) fonte usus sit. *ταμίαι: ἄρχοντές εἰσιν Ἀθήνησιν κληρωτοὶ ἀπὸ τῶν πεντακοσιομεδίμνων* (ita etiam Pollux 8, 97. cf. Boeckh, Staatsh. I, 220.

657 et inscr. Euclide recentiorem 406 apud Rangabé, Ant. Hell. t. II, in qua mentio fit *τῶν πενταχοσιομεδίμνων*), *οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει χρήματα ἱερά τε καὶ δημόσια φυλάττουσιν, ἀλλὰ καὶ αὐτὸ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς* (*καὶ τὸν κόσμον* add. lex. Seg.). *εἰσὶ δὲ καὶ ἄλλοι ταμίαι, ἄρχοντες χειροτονητοὶ ἐπὶ τὰς ἱερὰς καὶ δημοσίας τριήρεις, ὁ μὲν ἐπὶ τὴν Πάραλον, ὁ δὲ ἐπὶ τὴν τοῦ Ἄμμωνος* (cf. fr. 59).

Ad eundem fontem atque ad Aristotelem citatum Pollucis quoque verba manifesto pertinent haec (8, 97): *ταμίαι τῆς θεοῦ* (sive plenius ut est in inscriptionibus *ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθηναίας*) *κληρωτοὶ μὲν ἐκ πενταχοσιομεδίμνων ἦσαν, τὰ δὲ χρήματα παρελάμβανον τῆς βουλῆς παρούσης.* quae sequuntur ab Aristotele aliena ad Androtionem spectant et Lysiam in lexico illo a Polluce ceterisque exscripto olim citatos: *ἐκαλοῦντο δ' οὗτοι κωλακρέται. εἶχον δ' ἐξουσίαν* (sc. *οἱ ταμίαι*) *καὶ ζημίαν ἀφελεῖν εἰ ἀδίκως ὑπὸ τῶν ἀρχόντων ἐπιβληθείη.* ultima enim haec e Lysiae oratione *ὑπὲρ τοῦ στρατιώτου* (or. 9, 6—7), ubi simpliciter dicuntur *οἱ ταμίαι*, effecta esse animadvertit Boeckh (Staatshaush. I, 210. cf. 222). de colacretis autem Didymi ut patet, Aristophanem Byzantium et Androtionem afferentis verba extant in schol. Aristoph. av. 1541 (atque ex parte etiam apud Hesych. s. *κωλακρέται*), e quibus in brevius contractis non illa solum nata sunt male coniuncta quae in schol. Arist. vesp. 695 (e quo Suid. s. *κωλ.*) habentur (cf. etiam Lex. rhet. Seg. p. 275, 22 et Timaei soph. lex. s. v.) *κωλακρέτης δὲ καλεῖται ὁ κατέχων τὰ χρήματα τῆς πόλεως, ὁ ταμίας τοῦ δικαστικοῦ μισθοῦ* (haec Aristoph. Byz. opinio erat) *καὶ τῶν εἰς θεοὺς ἀναλωμάτων* (haec ex Androtionis loco conclusa sunt), sed eisdem etiam Pollucis (cf. Boeckh, Staatsh. I, 239. 240) verba nituntur quaestorum illorum (et apodectarum, de quo idem testatus est Androtion secundum Harp. s. *ἀποδέκται*, cf. fr. 56. Schoemann, Griech. Alt. I, 420, not. 5) vices olim gessisse colacretas contendentia. etenim in ipso illo loco quo de tamiarum variis generibus Didymus et qui eum sequuntur lexicographi tractaverant, colacretarum quoque mentionem extitisse testimonio sunt ea quae ex uberiori olim lexicorum copia nunc restant in Etym. M. p. 525, 15 *κωλακρέται: οἱ τῶν ἀργυρίων* (ita etiam Hes., Lex. Seg.) *ταμίαι, οἳ τὸ τριηραρχεῖν ἔταττον.* quae contrahendo nimis nunc mutilata a tamiis *τῇ θεοῦ* et a colacretis ad eos statim quae tertio loco Harpocration nominat (*ὅτι δὲ καὶ τοῖς τριηράρχοις εἵποντο ταμίαι* etc.) epitomatorem aberrasse comprobant.

Etiam de tamiis *τῶν ἱερῶν τριήρων* pluribus olim in lexicis s. v. *ταμίαι* fuisse expositum, e lex. rhet. fragmento Cantabrigiensi intelligitur. quod quum ad alterum spectet Aristotelis testimonium ab Harpo-

cratione et Photio supra allatum, Muelleri exemplum secutus hic subiungo.

59. (396)

Lex. rhet. Cantabrig. p. 675, 28 (p. 30 Meier) *Πάραλος καὶ Σαλαμινία: ταύτας τὰς τριήρεις εἶχον διὰ παντὸς πρὸς τὰς ἐπειγούσας ὑπηρεσίας, ἐφ' αἷς καὶ ταμίαι τινὲς ἐχειροτονοῦντο· ἐχρῶντο δὲ αὐταῖς εἰ δέοι στρατηγὸν μεταπέμψασθαι κριθησόμενον, ὥσπερ Ἀλκιβιάδην. ἡ δὲ Πάραλος καὶ ἀπό τινος ἥρωος ἐπιχωρίου ἐκλήθη* (cf. Harp. s. *Πάραλος*). *τῆς μὲν Παράλου καὶ Σαλαμινίας ἐν τρίτῃ μνημονεύει Θουκυδίδης* (3, 33 et 77) *καὶ Ἀριστοφάνης ἐν ὄρνισιν* (1204), *Ἀριστοτέλης δὲ Ἀμμωνιάδα* (cod. *ἀμοριάδα*) *καὶ Πάραλον οἶδε καὶ Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους. Φιλόχορος* (cod. *στησίχορος*) *δὲ ἐν τῇ ϛ* (cf. Harp. s. *ἱερὰ τριήρης*) *τέτταρας αὐτὰς οἶδε, πρώτας μὲν δύο Ἀμμωνιάδα* (cod. *ἀμοριάδα*) *καὶ Πάραλον, προσγενομένας δὲ Δημητριάδα καὶ Ἀντιγονίδα. ἐκαλοῦντο δὲ οἱ ἐμπλέοντες τῇ Παράλῳ Πάραλοι, ὡς καὶ παρ' Αἰσχίνῃ* (adv. Ctes. 162), *οἱ δ' ἐν* (ita Müll., *οἷον* cod.) *τῇ Σαλαμινίᾳ Σαλαμίνιοι.*

Ubi quae de usu sacrarum navium dicuntur, quum de Salaminia sola valeant, ad utramque trahuntur epitomatoris negligentia Parali ad theorias (*εἴς τε Δῆλον καὶ Ὀλυμπίαν* Phot. p. 386, 27) destinatae mentionem emittentis. id quod ex Alcibiadis patet exemplo allato (Thuc. 6, 61), quo recte utuntur Schol. Aristoph. av. 147 et Phot. s. *Πάραλος* p. 386, 26. similis plane confusio reperitur in Photii eodem (ex alio lex. rhet.) fonte (cuius tenue vestigium cernis etiam apud Hesych. s. *Πάραλοι*) utentis lexico s. *Πάραλοι* p. 386, 5 (= Suid.) quae Salaminiae sunt ad Paralum transferente. ubi manifestum est Ammoniadis olim quae eadem sit cum Salaminia mentionem fuisse factam, ita quidem ut duabus duo, Paralus scil. et Ammonias (cf. supra in fr. 58, Phot. p. 567, 24) quae et Salaminia (quas tres fuisse diversas temere scribitur apud Phot. p. 386, 26 et in schol. ad Demosth. p. 636, 16 Dind.), duabus aliis postea assumtis opponerentur. *Πάραλοι: οἵ τε ἐν τῇ νηῒ τῇ Παράλῳ πλέοντες καὶ οἱ τὴν παράλιον τῆς Ἀττικῆς κατοικοῦντες* (cf. Hes. *Πάραλοι οἱ τὴν παράλιον οἰκοῦντες τῆς Ἀττικῆς*), *ὥσπερ ἕτεροι Πεδιάσιοι καὶ Διάκριοι. Πάραλος δὲ τριήρης ἱερὰ καλεῖται, ἥτις διηνεκῶς ταῖς ἐπειγούσαις χρείαις ὑπηρετεῖ* (quae ad utramque navem pertinent). *ὁπότε δὲ ἐκ τῆς ἀλλοδαπῆς μεταπέμψασθαι στρατηγὸν ἐβούλοντο, ὥσπερ Ἀλκιβιάδην ἀπὸ Σικελίας, τῇ Παράλῳ* (immo *τῇ Ἀμμωνιάδι*) *ἐχρῶντο· λέγεται δὲ ἡ αὐτὴ* (scil. *ἡ Ἀμμωνιάς*) *καὶ Σαλαμινία. ὕστερον δὲ ἄλλαι δύο προσεγένοντο αὐταῖς, Ἀντιγονίς τε καὶ Δημητριάς.* de Ammoniade etiam

Harp. s. *Ἀμμωνίς: ἡ τοῦ Ἄμμωνος* (ita Phot. p. 567, 24 *τὴν τοῦ Ἄμμωνος*) *ἱερὰ τριήρης· Δείναρχος ἐν τῷ κατὰ Ἱμεραίου.* cf. Schol. Dem. l. c. (ad or. c. Mid. 171 *τοῦτον τῆς Παράλου ταμίαν*) . . . *καὶ Ἀμμωνιὰς ἐπειδὴ τῷ Ἄμμωνι δι' αὐτῆς τὰς θυσίας ἔπεμπον.* de Grashofio ad Alexandri honorem Ammonis filii hanc nominis mutationem referente v. Meier ad h. l. lex. rhet. ceterum cf. Boeckh, Staatsh. I, 340 et supra in praef. ad fr. Politiarum.

60. (397)

Etymolog. Magn. (cuius auctor ex Harpocrationis lex. decem rhet. olim integriore sua derivasse videtur) p. 468, 56 *ἱεροποιοί: κληρωτοὶ ἄρχοντές εἰσι δέκα τὸν ἀριθμόν, οἳ τά τε μαντεύματα ἱεροθυτοῦσι κἄν τι καλλιερῆσαι δέῃ καλλιεροῦσι μετὰ τῶν μάντεων καὶ θυσίας τὰς νομιζομένας ἐπιτελοῦσι καὶ τὰς πενταετηρίδας ἁπάσας διοικοῦσι πλὴν Παναθηναίων* (hucusque eadem in Lex. Seg. p. 265, 22 et apud Phot. s. v. qui ex reliquis haec tantum addit: *εἰσὶ δὲ καὶ ἄλλοι ἱεροποιοὶ τῶν σεμνῶν θεῶν οἳ τὸν ἀριθμόν εἰσιν ἀόριστοι.* de Panathenaeis exceptis, scil. magnis, cf. Boeckh, Staatsh. II, 9 et inscr. 814 apud Rangabé, Antiq. Hellén. t. II). *ταῦτα δὲ Ἀριστοτέλης ἱστορεῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Δημοσθένης ἐν Φιλιππικῶν δ̄* (or. 4, 26) «*οἱ λοιποὶ τὰς πομπὰς πομπεύουσιν* (*πέμπουσιν* ap. Dem.) *ὑμῖν μετὰ τῶν ἱεροποιῶν*». *μὴ ἀγνοῶμεν δὲ ὅτι καὶ ἄλλοι εἰσὶν ἱεροποιοὶ τῶν σεμνῶν θεῶν τὸν ἀριθμὸν δέκα* (rectius *ἀόριστοι* Phot. i. e., ut vidit Meier de lex. rhet. p. 50, modo tres modo decem, id quod probatur testimoniis allatis Dem. et Din.). *Δημοσθένης ἐν τῷ κατὰ Μειδίου* (or. 21, 115. cf. Schol. Dem. p. 607, 12 Dind.) «*περιεῖδε ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα ἐξ Ἀθηναίων ἁπάντων τρίτον αὐτὸν καὶ* (ita ap. Dem., *καὶ περὶ τὸν αὐτὸν καιρὸν* in Etym.) *καταρξάμενον* (*τῶν ἱερῶν* Dem.)». *Δείναρχος δὲ ἐν τῷ κατὰ Λυκούργου εὐθυνῶν φησὶ* «*καὶ τὰς σεμνὰς θεὰς αἷς ἐκεῖνος ἱεροποιὸς καταστὰς δέκατος αὐτός*». ad eundem Aristotelis locum pertinent quae ex communi (cum Harpocratione) fonte (Didymo) excerpta servavit Pollux (8, 107) *ἱεροποιοί. δέκα ὄντες οὗτοι ἔθυον θυσίας* (scil. *τὰς νομιζομένος καὶ*) *πεντετηρίδας* (*διοικοῦσι*) *τὴν εἰς Δῆλον, τὴν ἐν Βραυρῶνι, τὴν τῶν Ἡρακλείων, τὴν Ἐλευσῖνι* (cf. Poll. 8, 93 de athlothetis Panathenaeorum).

61. (398)

Harpocr. (e quo Phot. p. 32, 26. Suid. et Etym. M. p. 391, 52 om. Arist. mentione) s. *εὔθυναι: Λυσίας ἐν τῷ κατὰ Νικιδίου εἰ γνήσιος. εὐθύνης ὄνομα ἀρχῆς παρ' Ἀθηναίοις. δέκα τὸν ἀριθμὸν ἦσαν ἄν-*

δρες, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες ἢ ἄρξαντες ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας. διείλεκται περὶ αὐτῶν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ (cf. Phot. p. 31, 20 *εὔθυνος: ἀρχὴ ἦν τις. ἐξ ἑκάστης δὲ φυλῆς ἕνα κληροῦσι, τούτῳ δὲ δύο παρέδρους.* de paredris euthynorum Pollux 8, 100, de quo loco Boeckh, Staatsh. I, 271).

62. (399)

Harpocr. (e quo Phot., Suidas, Schol. Aeschin. p. 80, 2, Arist. ceterorumque scriptorum testimoniis eodem modo recisis) s. *λογισταὶ καὶ λογιστήρια: ἀρχή τις παρ' Ἀθηναίοις οὕτω καλουμένη· εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα* (cf. schol. Aesch. p. 82, 11 *ἑκάστης φυλῆς εἷς*), *οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις λ̄, ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος* (117). *διείλεκται περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθυνῶν* (cf. Boeckh, Staatshaush. I, 264). *μέμνηνται τῆς ἀρχῆς καὶ οἱ κωμικοί. Εὔπολις πόλεσιν «ἄνδρες λογισταὶ τῶν ὑπευθυνῶν χορῶν»* (cf. Meineke, Fr. com. II, p. 518). *λογιστήρια δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῶν μυστηρίων* (78) *δηλοῦσιν.*

63. (400)

Lex. rhet. Cantabr. p. 672, 20 (p. 22 ed. Meier) s. *λογισταὶ καὶ συνήγοροι: Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ οὕτω λέγει «λογισταὶ δὲ αἱροῦνται* (de qua re Meier ad h. l., Boeckh p. 267. cf. Lex. Seg. p. 276, 17. Etym. M. p. 569, 31. Poll. 8, 99) *δέκα, παρ' οἷς διαλογίζονται πᾶσαι αἱ ἀρχαὶ τά τε λήμματα καὶ τὰς γεγενημένας δαπάνας. καὶ ἄλλοι* (*ἄλλοις . . . συνηγόροις* cod.) *δέκα συνήγοροι, οἵτινες συνανακρίνουσι τούτοις. καὶ οἱ τὰς εὐθύνας διδόντες παρὰ τούτοις ἀνακρίνονται* (*ἀνακρίνοντες* cod. ceterum cf. idem de euthynis ap. Phot. p. 32, 16) *πρῶτον, εἶτα ἐφίενται* (add. Suid. s. *εὔθυνα* = Phot. p. 32, 21 = Lex. Seg. p. 245, 6 = Et. M. p. 391, 55. cf. Lex. Seg. p. 310, 6) *εἰς τὸ δικαστήριον, εἰς ἕνα καὶ φ̄.* confirmat de synegoris schol. Aristophan. vesp. 691: *κληρωτοὺς* (cf. lex. Seg. p. 301, 4) *δὲ γενομένους δέκα συνηγόρους Ἀριστοτέλης φησίν.*

64. (401)

Harpocr. (e quo Suid. et Synag. lex. Seg. p. 455, 24, om. Aristot. nom.) s. *ἀστυνόμος: Δημοσθένης κατὰ Τιμοκράτους* (112). *δέκα φησὶν εἶναι τοὺς ἀστυνόμους Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ,*

πέντε μὲν ἐν Πειραιεῖ, πέντε δ' ἐν ἄστει. τούτοις δέ φησι μέλειν περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ τῶν κοπρολόγων καὶ τῶν τοιούτων.

Hesych. s. v. nihil habet nisi haec *ἀστυνόμος: ὁ διοικῶν κατὰ τὸ ἄστυ.*

64 a.

Photius lex. p. 404, 16 *πεζὰς μόσχους: ἀντὶ τοῦ ἑταίρας· ἐλέγοντο γάρ τινες οὕτως, ὡς Ἀριστοτέλης ἐν πολιτείᾳ· τὰς χωρὶς ὀργάνων* (i. e. *τὰς μὴ μουσικὰς ἀλλ' ἄνευ ὀργάνων καὶ ψιλάς*, ut dicitur in altera glossa Photii p. 404, 25 s. *πεζή*. cf. Hesych. *πεζὰς μόσχους· οὕτως ἐκάλουν τὰς μισθαρνούσας ἑταίρας χωρὶς ὀργάνου.* Schol. Eurip. Alc. 460 = Etym. M. p. 658, 36 *πεζαὶ ἑταῖραι αἱ χωρὶς ὀργάνων εἰς τὰ συμπόσια φοιτῶσαι. Ὧρος.* sc. ex Oro Milesio *περὶ παθῶν* cf. Ritschl de Oro p. 66). *Κάνθαρος* (*ἢ Πλάτων* v. Meineke, Fr. com. II p. 667) *συμμαχίᾳ «αὐλητρίδα πεζήν» καὶ Εὔπολις κόλαξι.*

Haec non dubito quin ab Aristotele aliena sint. patet enim *κωμικὴν λέξιν* esse *πεζὰς μόσχους*, non quam lexicographi vocant *ῥητορικήν*, ita ut pro philosopho comicus merito restituatur *Ἀριστοφάνης* (*ἢ Φιλύλλιος*, v. Meineke Fr. com. II p. 861) *ἐν πόλεσιν*. cuius fabulae quae reliqua sunt, eorum plane consonum est argumentum. ceterum *πεζὰς ἑταίρας* eodem sensu quem significant grammatici novit etiam Theopompus historicus in fr. de Charetis luxuria ap. Athen. XII p. 532 (cit. Bournot p. 277): *ὅς γε περιήγετο στρατευόμενος αὐλητρίδας καὶ ψαλτρίας καὶ πεζὰς ἑταίρας.*

65. (402)

Harpocr. s. *ἀγορανόμοι: οἱ τὰ κατὰ τὴν ἀγορὰν ὤνια διοικοῦντες ἄρχοντες* (haec sola, ut cod. E, ex Harp. retinent Suid., Synag. lex. Seg. p. 330, 13, et misso v. *ὤνια* Etym. M. p. 13, 9 et Lex. rhet. Seg. p. 199, 24)· *Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους* (112. codd. *Τιμάρχου*). *Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ κληροῦσθαί φησι πέντε μὲν εἰς Πειραιᾶ, πέντε δὲ εἰς ἄστυ.*

Differt Hesych. (= gloss. alt. Lex. Seg. p. 212, 25) *ἀγ. δικαστὴς ὁ ἐν τῇ ἀγορᾷ νέμων τὸ δίκαιον.* ceterum Theophrastus etiam *περὶ νόμων* de agoranomis citatur apud Harp. (e quo Phot. et Suid.) s. *κατὰ τὴν ἀγορὰν ἀψευδεῖν.*

66. (403)

Harpocr. (e quo, missis testimoniis, Suid. et lexicon rhetoricum illud quo et Lex. rhet. Seg. p. 255, 22 et Et. M. p. 362, 2 et Suidas in alt.

gl. utuntur ita ordiente *ἄρχοντες ἦσαν κληρωτοὶ δέκα τὸν ἀριθμὸν ἑκάστου ἔτους καθιστάμενοι, οἷς προσετέτακτο* etc.) s. *ἐπιμελητὴς ἐμπορίου: Δείναρχος ἐν τῷ κατὰ Πυθέου. Ἀριστοτέλης «ἐμπορίου δ' ἐπιμελητὰς δέκα κληροῦσιν· τούτοις δὲ προστέτακται τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ Ἀττικὸν* (male *ἀστικὸν* Lex. Seg.) *ἐμπόριον* (cf. Demosth. or. 34, 36. 37. et 35, 50) *τὰ δύο μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν».*

67. (404)

Harpocr. (e quo Suid. et is quem sequitur Photius, nisi quod testes negligunt) s. *σιτοφύλακες: Δείναρχος ἐν τῇ Καλλισθένους εἰσαγγελίᾳ. ἀρχή τις ἦν Ἀθήνησιν, ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. ἦσαν δὲ τὸν ἀριθμὸν ιε̄, ι̅* (ι̅, quod male om. codd. Harp. Suid. Phot., addidit Valesius) *μὲν ἐν ἄστει, ε̄ δ' ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.*

In lexico rhetorico quod Photius exscribit ultima haec ita aucta erant: *ἦσαν δὲ τὸν ἀριθμὸν πάλαι μὲν πεντεκαίδεκα, [ι̅] ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ* (ad quinque hos spectare videtur Lysias in or. 22, 8 ed. C. Scheibe, Lips. 1855, ubi pro *δύο* nunc emendatius editur *τέσσαρες*, auctore Bergkio de reliq. com. Att. ant. p. 18)· *ὕστερον δὲ λ̄ μὲν ἐν ἄστει, ε̄* (corr. ι̅, cf. quod comparat Meursius lect. Att. I, 19 archontum exemplum a Lysandro institutorum *τριάκοντα μὲν ἐν ἄστει, δέκα δὲ ἐν Πειραιεῖ* Plut. Lys. 15. *ιε̄* voluit Bergk l. c., ut duplex factus sit uterque numerus; de qua proportione v. fr. 65 et Boeckh, Staatsh. 1, 118) *δὲ ἐν Πειραιεῖ.* neque magis ex ipso Harpocratione hausit Lex. rhet. Seg., ubi sic p. 300, 19 *σιτοφύλακες: ἄρχοντες Ἀθήνησι κληρωτοί. οὗτοι δ' ἐπεμελοῦντο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι κατὰ τὰς ὡρισμένας τιμὰς καὶ τὸν σταθμόν.*

68. (405)

Harpocrat. s. *μετρονόμοι: ἀρχή τις Ἀθήνησίν ἐστιν ἡ τῶν μετρονόμων, ὡς Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. ἦσαν δὲ τὸν ἀριθμὸν ιε̄, εἰς μὲν τὸν Πειραιᾶ ε̄* (ι̅ codd. et mox ε̄ pro ι̅, quod corr. Boeckh, Staatsh. I, 70), *ι̅ δ' εἰς ἄστυ· εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλούντων, ὡς καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ δηλοῖ.*

Corruptiores sunt numeri in Harp. cod. D (et E) itidemque apud Suidam et Photium p. 265, 4, qui illorum ubique sequuntur lectionem: *ιε̄ μὲν εἰς Πειραιᾶ, θ̄* (pro ε̄) *δὲ εἰς ἄστυ.* in alio lexico rhetorico, ex quo

altera Photii glossa sumta est p. 264, 25 (cf. Lex. Seg. p. 278, 25) ita ex Harpocratione legebatur: *ἄρχοντες ἦσαν δέκα τὸν ἀριθμόν, ὧν πέντε μὲν ἐν ἄστει, πέντε δ' ἐν Πειραιεῖ.*

69. (406)

Harpocr. (e quo Suidas, om. Ar. nom.) s. **κατὰ δήμους δικαστάς**: *Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους* (112). *περὶ τῶν κατὰ δήμους δικαστῶν, ὡς πρότερον μὲν ἦσαν τριάκοντα καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο τετταράκοντα, εἴρηκεν* **Ἀριστοτέλης** *ἐν τῇ* [*Ἀθηναίων* add. Meier] *πολιτείᾳ.* de eisdem ex eodem Aristotele atque inter ipsos magistratus Pollux 8, 100: *οἱ δὲ τετταράκοντα πρότερον μὲν ἦσαν τριάκοντα, οἳ περιιόντες κατὰ δήμους τὰ μέχρι δραχμῶν δέκα ἐδίκαζον, τὰ δὲ ὑπὲρ ταῦτα διαιτηταῖς* (ita etiam Phot., *δικασταῖς* lex. Seg.) *παρεδίδοσαν· μετὰ δὲ τὴν τῶν τριάκοντα ὀλιγαρχίαν* (cf. lex. Seg. p. 310, 22) *μίσει τοῦ ἀριθμοῦ τοῦ τριάκοντα τετταράκοντα ἐγένοντο.*

Commiscentur (cf. Meier, Att. Proc. p. 79) cum his alii triginta viri (de quibus Pollux 8, 104) lexiarchis *προσαιρεθέντες* apud Hesych. s. *τριάκοντα* et lex. rhet. Seg. p. 310, 21 (*οὓς ἐχειροτόνουν* etc.), inter quos distinguendum esse recte dicebatur in primo lexicorum fonte et nunc etiam ex Phrynicho grammatico (*σοφιστ. παρασκ.*?) dicitur apud Photium p. 599, 11 s. *τριάκοντα*: *πρῶτοι μὲν οἱ κατὰ δήμους* (*κατὰ πόλιν* cod., quod errore commutatum esse vidit Meier l. c. p. 80) *δικασταί· δεύτεροι οἱ κατὰ πόλιν* (*κατὰ δήμους* cod.) *τριάκοντα τῆς ἐκκλησίας ἐπιμελούμενοι μετὰ τῶν ληξιάρχων. οὕτως Φρύνιχος.*

Cf. Phot. p. 581, 20 s. **τετταράκοντα**: *κληρωτή* (v. Dem. l. c.) *τις ἦν Ἀθήνησιν ἀρχὴ μ̄* (cod. *μετὰ*) *τὸν ἀριθμόν, οἳ τὰς ἰδιωτικὰς δίκας ἐδίκαζον· ἀλλὰ τὰς μὲν ἄχρι δέκα δραχμῶν αὐτοτελεῖς ἦσαν δικάζειν, τὰς δὲ ὑπὲρ ταύτας τοῖς διαιτηταῖς παρεδίδουν.* Lex. rhet. Seg. s. ead. v. p. 306, 15: *ἀρχή τίς ἐστι κληρωτὴ μ̄ τὸν ἀριθμὸν πρὸς οὓς αἱ ἴδιαι δίκαι ἐλαγχάνοντο καὶ τὰ μέχρι δέκα δραχμῶν· τὰ δ' ὑπὲρ τοῦτο τὸ τίμημα τοῖς δικασταῖς παραδιδόασιν.*

70. (407)

Harpocr. (e quo Suidas, om. Ar. nom.) s. **διαιτηταί**: *Δημοσθένης ἐν τῷ κατὰ Μειδίου* (83 cf. schol. ad h. l.). *εἰσὶ δὲ οἱ διαιτηταὶ ἕτεροι τῶν δικαστῶν· οὗτοι μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον ἀποδεδειγμένοις καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον, οἱ δὲ διαιτηταὶ πρότερον κλήρῳ λαχόντες ἢ ἐπιτρεψάντων αὐτοῖς τῶν κρινομέ-

νων τοῖς κρινομένοις διῄτων. καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ τὰς μαρτυρίας, ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἑκατέρων ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν. λέγει δὲ περὶ αὐτῶν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Cf. Pollux 8, 126: διαιτηταὶ δ' ἐκ τῶν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότων ἐκληροῦντο, καὶ ἐπεκληροῦντο αὐτοῖς αἱ δίαιται, καὶ ἀτιμία ἀφώριστο τῷ μὴ διαιτήσαντι τὴν ἐπικληρωθεῖσαν δίαιταν (quibus similia cf. s. διαιτηταί apud Hesych. et Suidam in gl. alt. et in Lex. rhet. Seg. p. 235, 20 = schol. Plat. leg. p. 457 Bekk.). διῄτων (ita Kühne pro τῶν) δ' ἐν ἱεροῖς. πάλαι δ' οὐδεμία δίκη πρὶν ἐπὶ διαιτητὰς ἐλθεῖν εἰσήγετο. ἔλεγον δὲ ἐπιτρέψαι δίαιταν καὶ ἡ δίαιτα ἐκαλεῖτο ἐπιτροπή (cf. Harp. s. ἐπιτροπή). ἡ δ' ἔφεσις αὐτῶν εἰ εἰς δικαστήριον γένοιτο, εἰς ἐχῖνον τὰς ψήφους (immo τὰ γραμματεῖα, de qua scriptoris confusione cf. fr. 71 et 82) ἐμβαλόντες ἰδίᾳ ἑκατέρας τὰς τοῦ φεύγοντος καὶ διώκοντος κατεσημαίνοντο (hucusque Aristotelica. reliqua sumsit Didymus e Demetrio Phalereo, quem citat Harp. s. παράστασις). ἐλάμβανον δὲ οἱ διαιτηταὶ δραχμὴν παρὰ τοῦ κρίνοντος τὴν καλουμένην παράστασιν (cf. Poll. 8, 39 et supra in fr. 35), ἐγγράψαντος αὐτοῦ ἐν γραμματείῳ τὸ ἔγκλημα καὶ τὸ τίμημα· ἐλάμβανον δὲ καὶ ἑτέραν ὑπὲρ τῆς ἀντωμοσίας.

71. (408)

Harpocrat. (e quo Phot. p. 46, 4 et Suid. gl. c Bekk.) s. ἐχῖνος: ἔστι μὲν ἄγγος τι εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον (65). μνημονεύει τοῦ ἄγγους τούτου καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Ἀριστοφάνης Δαναΐσιν. ἦν δὲ καὶ πόλις etc. quibus e communi fonte hausta, neque tamen ex ipso Didymi commentario derivata sed e lexico quodam addita consentiunt schol. in Aristoph. vesp. 1436 (quae absunt a codd. Rav. et Ven. at eadem prorsus praeter testimonia leguntur apud Phot. p. 46, 19 et Suid. s. ἐχῖνοι) ἐχῖνον: ἄγγος τι χαλκοῦν ἢ καὶ ἐκ κεράμου, εἰς ὃ καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν ἅ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα εἰ ἐγκληθείη ἡ δίαιτα τοῖς δικασταῖς ἐπεδίδουν (cf. Harp. cit. in fr. 70). τοῦ δ' ἄγγους τούτου καὶ Δημοσθένης μνημονεύουσι καὶ Ἀριστοτέλης. ἔστι δέ τι καὶ ζῶον χερσαῖον καὶ θαλάττιον ὄστρεον. καὶ μὲν δὴ καὶ ἡ γαστὴρ τοῦ βοός (quibus ultimis cf. Harp. cod. D et Hesych. s. v.). tertiam praeterea eiusdem cum scholiis sententiae glossam apponunt Photius p. 46, 10

et Lex. rhet. Seg. p. 258, 3 e lexico quodam rhetorico ductam, eodem scilicet (Aelii Dionysii? cf. Meier de lexicis rhet. p. 36, item p. 15. 31 et τὸ πρῶτον λεξικὸν apud Etym. M. p. 315, 37—40 s. ἐδέατρος = Ael. Dionys. apud Eustath. p. 1430, 40 et Suid. s. v.) quod citatur in Etym. M. p. 404, 54: εὗρον δὲ σημαίνειν τὴν λέξιν εἰς τὸ ῥητορικὸν καὶ ἄλλο, ἤγουν καδίσκους [ἢ] ἀγγεῖά τινα, τὰ μὲν ἐκ χαλκοῦ τὰ δὲ ἐκ κεράμου, εἰς ἃ αἵ τε μαρτυρίαι καὶ αἱ προκλήσεις ἔγγραφοι ἐνεβάλλοντο ὑπὸ τῶν δικαζομένων καὶ κατεσημαίνοντο ἵνα μηδεὶς κακουργήσῃ [περὶ add. Phot.] τὰ ἐμβαλλόμενα.

72. (409).

Pollux 8, 62: ἔφεσις δέ ἐστιν ὅταν τις ἀπὸ διαιτητῶν ἢ ἀρχόντων ἢ δημοτῶν ἐπὶ δικαστὴν ἐφῇ, ἢ ἀπὸ βουλῆς ἐπὶ δῆμον, ἢ ἀπὸ δήμου ἐπὶ δικαστήριον, ἢ ἀπὸ δικαστῶν ἐπὶ ξενικὸν δικαστήριον· ἐφέσιμος δ' ὠνομάζετο ἡ δίκη. αὗται δὲ καὶ ἔκκλητοι δίκαι ἐκαλοῦντο (cf. ubi eiusdem fontis vestigia Etym. M. p. 401, 50. Phot. p. 41, 5). τὸ δὲ παρακαταβαλλόμενον ἐπὶ τῶν ἐφέσεων, ὅπερ οἱ νῦν παραβόλιον καλοῦσι, παράβολον Ἀριστοτέλης λέγει.

73. (410)

Harpocr. s. ἐπὶ Παλλαδίῳ: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους (71), ὡς καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, ἐν ᾧ δικάζουσιν ἀκουσίου φόνου καὶ βουλεύσεως οἱ ἐφέται.

Quae de nominis causa fabulosa et Demophonte Harpocration addidit, ad Aristotelem non pertinent, sed Clitodemi sunt, quem citat Pausanias lexicographus et a Suida (s. v.) exscriptus et ab Eustathio (in Od. p. 1419, 53) et ab Etym. M. p. 362, 43. Pollux autem 8, 118 et lexici rhet. auctor cuius verba exhibentur in Lex. rhet. Seg. p. 311, 3 (cf. alterius Pausaniae perieg. 1, 28 qui et ipse Phanodemo utitur) de eadem re agentes Phanodemi narrationem sequuntur, quam ab Harpocratione et Etym. M. praetermissam Clitodemi testimonio Pausanias in lexico praemisit (v. Suid. et Eust. l. c., quorum ille Pausaniae auctoris, Phanodemi hic mentionem neglexit). in primo igitur illorum omnium (Harpocrationis, Pollucis, Pausaniae etc.) fonte (Didymo scil.) tria coniunctim extabant Aristotelis, Phanodemi, Clitodemi testimonia, quorum primi Aristotelis fortasse etiam apud Hesychium reliquiae supersunt in tenui illa glossa ἐπὶ Παλλαδίῳ: δικαστήριον ἔνθα ἐδίκαζον οἱ ἐφέται τοῖς ἀκουσίων φόνων δικαζομένοις (cf. Suid. ἐπὶ Π. δικαστήριον Ἀθήνησιν, ἐν ᾧ οἱ ἐφέται ἀκουσίου φόνου ἐδίκαζον. Ἀργεῖοι γὰρ etc. et Eust. ἐδίκαζον δὲ κατὰ Παυσανίαν ἐκεῖ ἀκουσίου φόνου οἱ ἐφέται. Ἀργεῖοι γὰρ etc.).

74. (411)

Harpocr. (e quo Suid., ut in cod. E Harp., et testim. omnibus omissis Lex. rhet. Seg. p. 220, 11, cf. Hes. s. v.) s. *βουλεύσεως*: *ἐγκλήματος ὄνομα ἐπὶ δυοῖν ταττόμενον πραγμάτων· τὸ μὲν γάρ ἐστιν ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθεὶς ἐάν τε μή· τὸ δ' ἕτερον ὅταν τις* (*τις* add. E. Suid. lex. Seg.) *ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ αὐτὸς* (*αὐτὸς* om. E. Suid.) *δικάζηταί τινι ὡς οὐ δικαίως αὐτὸν ἐγγεγραφότι. τοῦ μὲν οὖν προτέρου μάρτυς Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην ἐπὶ Παλλαδίῳ λέγων εἶναι τὰς δίκας, Δείναρχος δὲ ἐν τῷ κατὰ Πιστίου ἐν Ἀρείῳ πάγῳ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ τῷ Ἰσαίῳ συμφωνεῖ. περὶ δὲ τοῦ ἑτέρου ἐγκλήματος Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος ᾱ* (28).

75. (412)

Harpocrat. s. *ἐπὶ Δελφινίῳ*: *δικαστήριόν ἐστιν οὕτω καλούμενον Ἀθήνησι. δικάζονται δὲ ἐνταῦθα οἱ ὁμολογοῦντες μὲν ἀπεκτονέναι δικαίως δὲ πεποιηκέναι τοῦτο λέγοντες, ὡς Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους* (74) *δηλοῖ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.*

Demosthenis in oratione illa *περὶ τῶν φονικῶν δικαστηρίων* dili genter (*ἀκριβῶς* ut ait Harp.) disserentis ipsa verba refert Harp. s. *ἐν Φρεαττοῖ* (cf. Dem. or. 23, 77. 78. Pollucis de eadem re locus 8, 120 ex Demosthene ductus quidem, auctus tamen est additamento quodam auctoris et Demosthenem et alios citantis) et s. *ἐπὶ πρυτανείῳ* (ubi codd. E D, quorum hic quoque, ut semper, recensionem sequuntur Suid. s. v. et Etym. M. p. 362, 54, manifesto arbitrio a Demosthenicis recedunt. cf. Dem. 76). de Delphinio autem Harpocrationis verba quum non ita legantur in Demosthene (74, ubi de prima quoque quae Orestis fuerit causa a lexicis dissentit), ad Aristotelem potius pertinere videntur. atque consimilia sunt quae, postquam originem nominis iudiciique in quod Theseus primus vocatus sit, ex alio quodam scriptore, eodem scilicet quo Etym. M. utitur p. 358, 56 et Lex. rhet. Seg. p. 255, 19 (cf. etiam Paus. 1, 28), Pollux explicavit (8, 119), arctius conglutinata addidit: *οὓς ὡμολόγει μὲν ἀποκτεῖναι, δικαίως δ' ἔφη τοῦτο δεδρακέναι.* quibus Aristotelicum illud testimonium subesse videtur in Pollucis fonte citatum. Eustath. in Il. p. 1221, 30 (*ἐπὶ Δ.*) *δικαστήριον Ἀθήνησιν ἐπὶ τῶν ὁμολογούντων φασὶ* (in Pausaniae scil. lexico paulo ante citati, e quo Suid. etiam s. v.) *δεδρακέναι μὲν φόνον, κατὰ νόμους δέ* (cf. Hes. s. v. et s. *δικαστήρια*, Lex. Seg. p. 311, 13).

76. (413)

Schol. in Aristoph. Plut. 278 *ὁ δὲ Χάρων τὸ ξύμβολον* (*δίδωσι*): *περὶ τοῦ παραδιδομένου τοῖς εἰσιοῦσιν εἰς τὸ δικαστήριον συμβόλου Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ οὕτω γράφει «τοῖς γὰρ δικαστηρίοις χρῶμα * ἐπιγέγραπται ἐφ᾽ ἑκάστῳ ἐπὶ τῷ σφηκίσκῳ τῆς εἰσόδου. ὁ δὲ λαβὼν τὴν βακτηρίαν βαδίζει εἰς δικαστήριον τὸ ὁμόχρουν μὲν τῇ βακτηρίᾳ, ἔχον δὲ τὸ αὐτὸ γράμμα ὅπερ ἐν τῇ βαλάνῳ. ἐπειδὰν δὲ εἰσέλθῃ, παραλαμβάνει σύμβολον δημοσίᾳ παρὰ τοῦ εἰληχότος ταύτην τὴν ἀρχήν.»*

Ex alio quodam commentatore, qui eodem fonte Aristotelem adhibente usus erat, haec adscripta sunt in scholiis (ad v. 277 p. 340, 39 Duebn.): *τὸ δὲ «ὁ Χάρων τὸ ξύμβολον δίδωσι» τοιοῦτόν ἐστι. τοῖς λαχοῦσι δικάσαι εἰσελθοῦσιν ἑκάστῳ σύμβολον δίδοται δημόσιον παρὰ τῆς ἐπὶ τοῦτο εἰληχυίας ἀρχῆς, ἵν᾽ οἱ ἐξιόντες καὶ τοῦτο προσφέροντες λαμβάνοιεν τὸν δικαστικὸν μισθόν.* cf. Phot. (= Etym. M. p. 734, 25. cf. praeter Suidam, qui schol. Aristoph. utitur s. *βακτηρία, σύμβολον* Lex. rhet. Seg. p. 301, 1 et Hesych. s. *σύμβολον*, ubi haec tantum restant: *τὸ διδόμενον τοῖς εἰσιοῦσιν εἰς τὸ δικαστήριον*) p. 549, 5 s. *σύμβολον*: *ὃ ἐλάμβανον οἱ δικασταὶ εἰς τὸ δικαστήριον εἰσιόντες, εἶτα τοῦτο δόντες τὸ δικαστικὸν ἐκομίζοντο.*

De ipso fragmento (quod abest a codd. Rav. Ven.) v. Dindorf. ad h. l. qui de lacuna ab editoribus notata ait ita «*Post χρῶμα ab Hemsterhusio male in γράμμα mutatum lacunam indicavit Dobraeus. quae fortasse sic est explenda ut scribatur, τοῖς γὰρ δικαστηρίοις χρῶμά τέ ἐστιν ἴδιον ἑκάστῳ, καὶ γράμμα ἐπιγέγραπται ἐπὶ τῷ σφηκίσκῳ τῆς εἰσόδου*». cf. schol. v. 277 p. 340, 3 Par. (e quibus integrioribus sua sumsit Eudocia p. 114, neglecta a Schoemanno in diss. de sortit. iudicum apud Athen. ad schol. Aristoph. Plut. v. 277. Gryphisw. 1820).

77. (414)

Schol. in Aristoph. vesp. 684 *τοὺς τρεῖς ὀβολούς*: *τὸν φόρον λέγει, ἀφ᾽ ὧν* (cf. Phot. p. 467, 22. Harp. p. 161, 12) *ἐδίδοτο τὸ τριώβολον. τοῦτο δὲ ἄλλοτε ἄλλως ἐδίδοτο, τῶν δημαγωγῶν τὰ πλήθη κολακευόντων, ὥς φησιν Ἀριστοτέλης ἐν πολιτείαις.* cf. Hesych. s. *δικαστικόν*: *Ἀριστοφάνης ἐν Ὥραις τριώβολόν φησιν εἶναι· οὐ μέντοι ἕστηκεν, ἀλλ᾽ ἄλλοτε ἄλλως ἐδίδοτο.* similiter etiam schol. Aristoph. Plut. 329. nub. 862. eq. 51 (de re cf. Pollux 8, 113. Boeckh, Staatsh. I, 327, ubi tamen neglectus est Photii locus p. 581, 17 s. *τετρωβολίζων*: *τὸ*

δικαστικὸν τετρώβολον λαμβάνων· ἐγένετο γὰρ καὶ τοσοῦτόν ποτε. cf. Poll. 9, 64. Meineke Fr. com. II, 812).

78. (415)

Zenob. 6, 29 (= Phot., Suid.) *ὑπὲρ τὰ Καλλικράτους: Κλέαρχός φησιν ὅτι Καλλικράτης τις ἐγένετο ἐν Καρύστῳ* (*Κορίνθῳ* Diog. et Apostol.) *πλουσιώτατος. εἴ ποτε* (*οὖν* add. Phot.) *ἐθαύμαζόν τινα οἱ Καρύστιοι ἐπὶ πλούτῳ ὑπερβολικῷ* (*ὑπερβολικῶς* Phot.), *ἔλεγον ὑπὲρ τὰ Καλλικράτους. Ἀριστοτέλης δέ φησιν ἐν τῇ Ἀθηναίων πολιτείᾳ Καλλικράτην τινὰ πρῶτον τῶν δικαστῶν τοὺς μισθοὺς εἰς ὑπερβολὴν αὐξῆσαι, ὅθεν καὶ τὴν παροιμίαν εἰρῆσθαι.*

Cf. Diogenian. 8, 62 (Boeckh, Staatsh. I, 332).

79. (416)

Harpocr. (e quo Suid., test. om. ut in cod. E) s. *διαμεμετρημένη ἡμέρα: μέτρον τί ἐστιν ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον. ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί* (cf. Schol. Aeschin. p. 65, 30 Dind.). *πρὸς* (*ὡς* cod. E. *ὡς δὴ τούτῳ* Suid.) *δὴ τοῦτο ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. διενέμετο δὲ τρία μέρη* (ita D E et Suidae codd. quidam, *εἰς τρία μέρη* reliqui) *τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τρίτον τοῖς δικάζουσι. ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος* (immo *περὶ παραπρεσβ.* 126)· *Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διδάσκει περὶ τούτων. σκεπτέον δὲ τὸ παρ' Ἰσαίῳ* etc.

Cf. Hesych. s. *διαμ. ἡμέραν: ἐπὶ τῶν μεγάλων δικῶν τὴν ἡμέραν ἐμέριζον εἰς διαστήματα.*

80. (417)

Harpocrat. (e quo Phot. et Suidas, Ar. mentione om.) s. *τετρυπημένη: Αἰσχίνης κατὰ Τιμάρχου* (79). *Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ γράφει ταυτί «ψῆφοι δέ εἰσι χαλκαῖ αὐλίσκον ἔχουσαι ἐν τῷ μέσῳ, αἱ μὲν ἡμίσειαι τετρυπημέναι, αἱ δὲ ἡμίσειαι πλήρεις* (*μήτε ταύτῃ ὑπομείνας* add. codd. A B C D i. e. *μὴ τετρυπημέναι*). *οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφους, ἐπειδὰν εἰρημένοι ὦσιν οἱ λόγοι, παραδιδόασιν ἑκάστῳ τῶν δικαστῶν δύο ψήφους, τετρυπημένην καὶ πλήρη, φανερὰς ὁρᾶν τοῖς ἀντιδίκοις ἵνα μήτε πλήρεις μήτε τετρυπημένας* (ita Phot., *μήτε ταύτας* C, *μήτε ταύτῃ* B et Suidae codd. omnes, *μὴ ταύτῃ* A, i. e. *μὴ τετρυπη* cum abbrev., eodem errore quo supra. *μήτε*

πάντη τετρυπ. scr. Bekker et editor Suid. Mediolan. 1499 quem sequentes omnes expresserunt usque ad Kusterum) *λαμβάνωσιν*».

Cf. Lex. rhet. Seguer. (e lex. Harpocrationem sequente) p. 307, 18 *τετρυπημένη ψῆφος: τῶν ψήφων οὐσῶν χαλκῶν καὶ αὐλίσκον ἐχουσῶν αἱ μὲν ἦσαν ὅλαι τετρημέναι* (corr. *τετρυπημέναι*) *ὅσαι κατεψηφίζοντο, αἱ δὲ πλήρεις ἀτρύπητοι ὅσαι ἠφίεσαν τοὺς κρινομένους. τετρυπημένη ψῆφος τοίνυν ἐστὶν ἡ τῶν καταψηφισθέντων δίκη.*

Ceterum Aristotelis verba continuantur eis quae in fragmento sequente citantur. cf. etiam Poll. 8, 123.

81. (418)

Lex. rhet. Cantabrig. p. 670, 30 (p. 18 ed. Meier quem cf. ad h. l.) s. *ἴσαι αἱ ψῆφοι αὐτῶν: ἐγένοντο δὲ ἴσαι ψῆφοι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ· «καὶ ἦσαν τοῦ μὲν διώκοντος αἱ τετρυπημέναι, τοῦ δὲ φεύγοντος αἱ πλήρεις· ὁποτέρῳ δ' ἂν πλείους γένωνται, οὗτος ἐνίκα· ὅτε δὲ ἴσαι, ὁ φεύγων ἀπέφυγεν». ὡς καὶ Θεοδέκτης ἐν τῇ Σωκράτους ἀπολογίᾳ.* quae si et Harpocrationem respexeris s. *ἴσαι ψῆφοι* (eadem ap. Phot. et Suid.) Aeschinis locum ex or. adv. Ctes. 252 apponentem et alteram glossam non solum a Photio p. 113, 11 et Suida sed ex parte etiam ab Hesychio servatam, ita fere redintegranda esse videbuntur: *ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο: Αἰσχίνης κατὰ Κτησιφῶντος· ἀπολύονται γὰρ οἱ διωκόμενοι ἀπὸ τῶν δικαζομένων, ἂν ἴσαι γένωνται ψῆφοι, ὡς Ἀριστοτέλης* etc.

82. (419)

Schol. Aristoph. equit. 1150 *κημόν: . . . ἄλλως. κημὸς ὁ ἐπὶ τοῦ καδίσκου, εἰς ὃν τὰς ψήφους καθίεσαν ἐν τοῖς δικαστηρίοις. Κρατῖνος δὲ αὐτὸν ἐν νόμοις σχοίνινον ἠθμὸν καλεῖ. τοιοῦτος γὰρ ἐγίνετο καὶ ἦν παρόμοιος χώνῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ. ὕστερον δὲ ἀμφορεῖς δύο ἵσταντο ἐν τοῖς δικαστηρίοις, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος· καὶ ὁ μὲν κύριος ἦν, ὁ δὲ ἄκυρος. ἔχει δὲ καὶ ὁ χαλκοῦς, ὥς φησιν Ἀριστοτέλης, διερρινημένον ἐπίθημα εἰς τὸ αὐτὴν μόνην τὴν ψῆφον καθίεσθαι· πρὸς τοῦτο οὖν ὁ κημός. ἀντὶ δὲ ψήφων ταῖς χοιρίναις* (cf. Poll. 8, 16) *οἱ δικασταὶ ἐχρῶντο· αὗται δὲ κόγχαι τινές εἰσιν, ὥς φησιν Ἐπαφρόδιτος ἐν ταῖς λέξεσιν. καὶ ὁ τοῖς ἵπποις δὲ περιτιθέμενος* etc.

Trium (vel quatuor) commentariorum in scholiis hic fragmenta apponuntur, quorum breve tertium Phaini dicitur, amplissimum secundum atque auctorum testimoniis refertum ad Symmachum sine ullo dubio perti-

net, qui hoc loco Didymi primum commentario comicorum Aristotelisque locos suppeditante, deinde Epaphrodito et Herodiano (cf. Mor. Schmidt, Did. fr. p. 292) usus est. quorum verba si cum Hesychianis s. *κημός* comparaveris, et Didymi cum Aristotele locum his subesse et Herodianum intelliges. Herodiani sunt prima: *πλεκτὸν ἀγγεῖον* etc., Didymi ex Arist. haec: *δηλοῖ δὲ καὶ τὸ ἐπιτιθέμενον τῇ τῶν δικαστῶν ὑδρίᾳ πεπλεγμένον πῶμα παρόμοιον χώνῃ.* atque Didymeorum vestigia lexicique praeter Herodianum ab Hesychio adhibiti (Diogeniani) etiam in ceteris lexicis apparent i. e. in lexico rhetor. cuius verba referunt et Photius p. 161, 13 et Suidas et Eudemus (cod. Vindob. graec. phil. 132) s. v. *κημός: λέγεται καὶ ὁ χαλινός. λέγεται καὶ τὸ κωνοειδὲς πλέγμα δι' οὗ οἱ δικασταὶ τὴν ψῆφον καθιᾶσιν εἰς τὸν κάδον, καὶ γυναικεῖον προκόσμημα, καὶ αἱ αὐλητικαὶ φορβειαί, καὶ κρίκον τι γένος, καὶ πόα τις καὶ ὄσπριον παρὰ Θρᾳξίν. ἔστι δὲ καὶ μηχανικὸν εἶδος.* cf. etiam Lex. rhet. Seg. p. 275, 25 *κημός: πλέγμα τι ἐκ σχοινίων* (ita etiam Etym. M. p. 511, 4) *ἐπιτιθέμενον τῇ ὑδρίᾳ, παρόμοιον χώνῃ ἢ ἠθμῷ, δι' οὗ τὰς δικαστικὰς καθίεσαν ψήφους.*

Ex Aristotele derivata atque eis quae in schol. Aristoph. extant plane consona sunt quae Theophrasteis (8, 122 cf. Harp. s. *Ἄρδηττος*) succedentia leguntur apud Pollucem 8, 123: *ψήφους δ' εἶχον χαλκᾶς δύο, τετρυπημένην καὶ ἀτρύπητον, καὶ κάδον ᾧ κημὸς ἐπέκειτο δι' οὗ καθίετο ἡ ψῆφος· αὖθις δὲ δύο ἀμφορεῖς, ὁ μὲν χαλκοῦς ὁ δὲ ξύλινος, ὁ μὲν κύριος ὁ δὲ ἄκυρος· τῷ δὲ χαλκῷ ἐπῆν ἐπίθημα μιᾷ ψήφῳ χώραν ἔχον* (cf. Poll. 8, 17).

83. (420)

Schol. in Aristoph. vesp. 578 *παίδων τοίνυν δοκιμαζομένων: πρὸς τὸ ἔθος. Ἀριστοτέλης δέ φησιν ὅτι ψήφῳ οἱ ἐγγραφόμενοι* (scil. *εἰς τὸ ληξιαρχικὸν γραμματεῖον*) *δοκιμάζονται οἳ νεώτεροι μὴ ἐτῶν ιη̄ εἶεν* (cf. de ephebia Arnold Schaefer, Demosthenes und seine Zeit, t. III, 2, p. 34 sq.).

84. (421)

Harpocrat. (eadem Phot. et Suid. ex rec. cod. E) s. *περίπολος: Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας* (167). *Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων* (cf. Schaefer, Demosth. III, 2, 33. de hoc argumento Didymus apud Harp. s. *ἐπὶ διετὲς ἡβῆσαι*, cuius sententiam pervertisse videntur epitomatores) *λέγων φησὶν οὕτως «τὸν δεύτερον ἐνιαυτὸν ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης ἀποδεξάμενοι τῷ*

δήμῳ περὶ τὰς τάξεις (*παρὰ τοῦ δήμου τὰς τ.* Valesius, cf. Platner, Beiträge zur Kenntniss des Att. Rechts. Marb. 1820 p. 178) *καὶ λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου περιπολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις». παρατηρητέον δὲ* etc.

85. 86. (422. 423)

Harpocrat. (e quo Phot. et Suid.) s. *στρατεία ἐν τοῖς ἐπωνύμοις*: *Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας* (168. cf. schol. p. 74, 7 Dind. et lexica s. *τερθρεία*). *τίς ἦν ἡ ἐν τοῖς ἐπωνύμοις στρατεία δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ λέγων «εἰσὶ γὰρ* (*εἰσὶ γάρ φησιν* Phot. Suid., om. v. *λέγων*) *ἐπώνυμοι δέκα μὲν οἱ τῶν φυλῶν, δύο δὲ καὶ τεσσαράκοντα οἱ τῶν ἡλικιῶν. οἱ δὲ ἔφηβοι ἐγγραφόμενοι πρότερον μὲν εἰς λελευκωμένα γραμματεῖα ἐνεγράφοντο, καὶ ἐπεγράφοντο αὐτοῖς ὅ τε ἄρχων ἐφ' οὗ* (*ἐφ' ὧν* cod. E sec. Bernh. i. e. *ἐφ' ὃν* ut Phot. et cod. V Suidae) *ἐνεγράφησαν* (*ἐπεγράφησαν* codd. item Phot. Suid.) *καὶ ἐπώνυμος ὁ τῷ προτέρῳ ἔτει δεδεικτικως* (locus corruptus: *δεδεικτικῶς* codd. B D, *δεδεικτικώς* G, *δὲ δεικτικῶς* A C. *καὶ ἐπώνυμος ὁ τῷ προτέρῳ ἐπιδεδημηκώς* Phot. et Suid. scribendum fortasse credas ... *ἐνεγράφησαν ὁ ἐπώνυμος καὶ ὁ τῷ προτέρῳ ἔτει ἐφεστηκώς*: at nulla in hac quidem voce corruptionis occasio intelligitur. an *δεδιῳκηκώς*? uterque igitur archon adscribitur, et eius anni a quo status civitatis inciperet, designatus scil., et antecedentis quo finiente fiebat inscriptio, sive archon *ἐφ' ὅν* et archon *ἐφ' οὗ*)· *νῦν δὲ εἰς τὴν βουλὴν ἀναγράφονται». καὶ μετ' ὀλίγα «χρῶνται δὲ τοῖς ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας, καὶ ὅταν ἡλικίαν ἐκπέμπωσι, προγράφουσιν ἀπὸ τίνος ἄρχοντος ἐπωνύμου μέχρι τίνος δεῖ στρατεύεσθαι». διείλεκται περὶ τούτων καὶ Φιλόχορος ἐν δ̄ τῆς Ἀτθίδος.* prioris loci (fr. 85) initium plenius repetitur ab Harpocr. (e quo Phot. et Suid.) s. *ἐπώνυμοι*: *Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους* (18). *διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν ῑ τὸν ἀριθμὸν ἀφ' ὧν αἱ φυλαί, ἕτεροι δὲ β̄ καὶ μ̄ ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ' ἕκαστον ἔτος ἀπὸ ιη̄ ἐτῶν* (*ἔτους* Phot. Suid.) *μέχρις ξ̄.* cf. Etym. M. p. 369, 16 (cf. Lex. Seg. p. 245, 17) s. v. (*ἄλλως*·) *διττοί εἰσιν οὗτοι, οἱ μὲν λεγόμενοι τῶν ἡλικιῶν· καί εἰσι δύο καὶ τεσσαράκοντα οἳ καλοῦνται καὶ λήξεων ἐπώνυμοι· οἱ δὲ δέκα ἀφ' ὧν αἱ φυλαὶ προσηγορεύθησαν, οἷον Ἐρεχθεύς, Αἰγεύς, Πανδίων, Λεώς, Ἀκάμας* (*ἀλμᾶς* edd.), *Οἰνεύς, Κέκροψ, Ἱπποθόων, Αἴας, Ἀντίοχος. ταῦτα δὲ τὰ δέκα ὀνόματα ἄπορα* (corr. *ἅπερ*?) *ὁ Πύθιος εἵλετο, Κλεισθένους οὕτω διαταξαμένου* (*Κλεισθένης ... διαταξάμενος* edd.) *τὸ πᾶν πλῆθος εἰς δέκα φυλάς.*

87. (424)

Harpocr. (e quo Suidas et Zonaras p. 42, codicis E recensionem sequentes) s. *ἀδύνατοι*: *Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου* (103. 104). *οἱ ἐντὸς τριῶν μνῶν κεκτημένοι τὸ σῶμα πεπηρωμένοι* (codd. *πεπηρωμένον*. cod. E: *ἀδύνατοι οἱ πεπηρωμένοι τὸ σῶμα*). *ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ὑπὸ τῆς βουλῆς δύο ὀβολοὺς τῆς ἡμέρας ἑκάστης ἢ ὀβολόν, ὥς φησιν Ἀριστοτέλης* (qui scil. diversa tempora respexit, Lysiae quo unum, suumque quo duos accipiebant) *ἐν Ἀθηναίων πολιτείᾳ· ὡς δὲ Φιλόχορός φησιν ἐννέα δραχμὰς κατὰ μῆνα* (quod idem fere est ac *δύο ὀβ.* cf. Boeckh, Staatsh. I, 345). *ἔστι δὲ καὶ λόγος τις ὡς Λυσίου περὶ τοῦ ἀδυνάτου ἐν ᾧ ὡς ὀβολὸν λαμβάνοντος μέμνηται* (or. 24, 13. 26).

Didymeae doctrinae haec esse probat lexicorum consensus. cf. Hesych. *ἀδύνατοι*: *οἱ ἐντὸς κεκτημένοι τριῶν περὶ* (sic revera cod. sec. Schow. p. 20. corr. *τριῶν μνῶν παρὰ*) *Ἀττικοῖς. ἐλάμβανον δὲ παρὰ τῆς βουλῆς δύο ὀβολούς*. Synag. lex. Seg. (cuius prima verba etiam in lex. rhet. Seg. p. 200, 3) p. 345, 15 *ἀδύνατοι*: *οἱ μέρος τι βεβλαμμένοι τοῦ σώματος ὡς μηδὲ ἐργάζεσθαι* (*καὶ ἀδύνατοι τοῦ ἐργάζεσθαι καὶ πορίζειν αὑτοῖς τῷ σώματι τὰ ἐπιτήδεια* lex. Seg.)· *οἳ καὶ ἐχορηγοῦντο τὰ πρὸς τὸ ζῆν παρὰ τῆς πόλεως, μισθοφορούντων αὐτῶν* (*αὐτοῖς* cod. a C. Müllero correctus. f. *αὐτῆς*) *τῶν ἐντὸς τριῶν μνῶν περιουσίαν κεκτημένων. ἐδοκιμάζοντο δὲ οἱ ἀδύνατοι ὑπὸ τῆς τῶν πεντακοσίων βουλῆς καὶ ἐλάμβανον τῆς ἡμέρας, ὡς μὲν Λυσίας, ὀβολὸν ἕνα, ὡς δὲ Φιλόχορος πέντε· Ἀριστοτέλης δὲ δύο ἔφη.*

88. (425)

Harpocr. (e quo Phot. et Suid., test. om.) p. 140, 17: *Ὅτι νόμος ἐστὶν ὑπὲρ τεσσαράκοντα ἔτη γενόμενον χορηγεῖν παισὶν Αἰσχίνης τε ἐν τῷ κατὰ Τιμάρχου* (11) *φησὶ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.*

89. (426)

Athen. VI, 27 p. 235ᵉ: *Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων* (codd. *Μεθωναίων*, quod merito corr. Grashof p. 158. erat fortasse *ᾱ Ἀθηναίων*) *πολιτείᾳ «παράσιτοί φησι τοῖς μὲν ἄρχουσι δύο καθ' ἕκαστον ἦσαν, τοῖς δὲ πολεμάρχοις εἷς. τεταγμένα δ' ἐλάμβανον παρ' ἄλλων τέ τινων καὶ τῶν ἁλιέων ὄψον».*

Haec e lexico quodam s. *παράσιτος* testimoniorum congeriem inferente ab Athenaeo sumta esse Pollux docet comparatus, qui eodem lexico usus eorundem auctorum eodemque ordine propositorum vestigia servat 6, 35). Athenaeus (6, 26 sqq.) quidem, postquam Polemonem (cuius verba

pertinent usque ad p. 234[e] ubi de alio, eoque de quo Aristoteles etiam, parasitorum genere Clearchi locus contra Polemonis mentem a lexici auctore insertus est, sequuntur rursus de prioribus agentis Clidemi verba mutila Crateteis consona: Themison enim iste non auctor videtur, sed ipse parasitus quidam) aliosque citavit, Cratetis illum locum quo Polemo in fragmento apposito usus erat et ipse exhibet: *Κράτης δ' ἐν δευτέρῳ Ἀττικῆς διαλέκτου φησί· «καὶ ὁ παράσιτος νῦν ἐπ' ἄδοξον μὲν κεῖται πρᾶγμα, πρότερον δ' ἐκαλοῦντο παράσιτοι οἱ ἐπὶ τὴν τοῦ ἱεροῦ σίτου ἐκλογὴν αἱρούμενοι* (cf. Polemo p. 234[d]) *καὶ ἦν ἀρχεῖόν τι παρασίτων* (*παρασίτιον*?). *διὸ καὶ ἐν τῷ τοῦ βασιλέως νόμῳ γέγραπται* (cf. Clidem. p. 235[a] et Pol. p. 234[f]. cet. scribendum videtur *κατασιτῶνται* pro *καθιστῶνται*. archontes autem hoc loco, ut supra p. 234[f], sunt *ἱέραρχοι*, cf. inscr. ap. Rangabé, Antiq. hell. II p. 148. Preller, de Pol. p. 121) ... *ὅτι δὲ καὶ ἀρχεῖον ἦν αὐτῶν ἐν τῷ αὐτῷ νόμῳ τάδε γέγραπται ... ἐκ τούτου δῆλόν ἐστιν ὅτι ... παρασίτειον προσηγορεύετο.* Cratetem sequuntur Philochori, Diodori comici (*οὗ τὸ μαρτύριον ὀλίγον ὕστερον παραθήσομαι*), Aristotelis auctoritates. deinde haec: *τὸν δὲ νῦν λεγόμενον παράσιτον Καρύστιος ὁ Περγαμηνὸς ἐν τῷ περὶ διδασκαλιῶν εὑρεθῆναί φησιν ὑπὸ πρώτου Ἀλέξιδος, ἐκλαθόμενος ὅτι Ἐπίχαρμος ἐν Ἐλπίδι ἢ Πλούτῳ παρὰ πότον αὐτὸν εἰσήγαγεν οὑτωσὶ λέγων ... πρῶτος δ' Ὅμηρος, ὥς τινές φασιν, εἰσήγαγε παράσιτον τὸν Ποδῆν εἶναι λέγων φίλον εἰλαπιναστὴν τοῦ Ἕκτορος* etc. quae ita excerpsit Pollux: *παρασιτεῖν καὶ παρὰ τοῖς νεωτέροις παράσιτος. ἔστι δὲ καὶ παρὰ τοῖς παλαιοῖς τοὔνομα, οὐ μὴν ἐφ' οὗ νῦν, ἀλλ' ἱερᾶς ὑπηρεσίας τοὔνομα, ὁ ἐπὶ τὴν τοῦ ἱεροῦ σίτου ἐκλογὴν αἱρούμενος. καὶ ἀρχεῖόν τι Ἀθήνησι παρασίτιον καλούμενον, ὡς ἐν τῷ νόμῳ τοῦ βασιλέως ἔστιν εὑρεῖν. ἐπὶ μέντοι τοῦ παρασιτεῖν κατὰ λιχνείαν ἢ κολακείαν πρῶτος Ἐπίχαρμος τὸν παράσιτον ὠνόμασεν, εἶτα Ἄλεξις. Ὅμηρος δ' αὐτὸν εἰλαπιναστὴν λέγει· «ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής».* iam vero sequuntur apud Athenaeum uberrima comicorum testimonia, quae e Didymi lexico comico utriusque fluxisse doctrinam comprobant (Pamphilo fortasse quod ad Pollucem intercedente). atque confirmat fontis huius suspicionem Hesychii ex Diogeniano glossa s. *παράσιτοι: ἀρχὴ ἐπὶ τὴν τοῦ ἱεροῦ σίτου ἐκλογήν* (cod. *ἐκδοχήν*). cf. Phot. p. 389, 18 *παράσιτοι: οἱ ἐπὶ τὴν τοῦ σίτου ἐκλογὴν αἱρούμενοι. κεῖται ἡ λέξις ἐν τῷ τοῦ βασιλέως νόμῳ. ceterum*, ut recte ait Preller (qui quae ad Didymum ego, ad Polemonem quo Didymus usus est male omnia traducit p. 116), *Clearchus non de sacerdotalibus illis epulonibus de quibus sunt cetera testimonia loqui videtur, verum de iis qui vulgo dicebantur ἀείσιτοι, de quibus loquitur*

etiam Aristoteles in loco infra subiuncto, cf. Thom. Mag. p. 280, 8 Ritschl., Moeris p. 322 Piers. (p. 208, 2 Bekk.) *παρασίτους: τοὺς δημοσίᾳ σιτουμένους ἐν πρυτανείῳ Ἀττικοί, quales erant praeter prytanes legatosque peregrinos sacerdotes Eleusinii, alii* (Polem. fr. p. 120).

Αἰγινητῶν.

90. (427)

Athenaeus VI p. 272[d]: *Ἀριστοτέλης δ' ἐν Αἰγινητῶν πολιτείᾳ καὶ παρὰ τούτοις φησὶ γενέσθαι ἑπτὰ καὶ τεσσαράκοντα μυριάδας δούλων.*

Haec qui repetit commentator Pindari recentior e quo sumtum est primum scholium ad Olymp. 8, 30 (*οὕτω γὰρ ἐπλήθυναν οἱ Αἰγινῆται, ὡς τεσσαράκοντα ἑπτὰ μυριάδας οἰκετῶν κτήσασθαι, ὥς φησιν Ἀριστοτέλης*, ut legitur in cod. Vrat. A ed. Boeckh. p. 192, sive: *πλήθειν γὰρ ἀνδρῶν οὕτω φασὶ τὴν Αἴγιναν, ὡς εἶναι ἐν αὐτῇ τεσσαράκοντα ἑπτὰ μυριάδας οἰκετῶν*, ut in schol. vulg.), nescio an ex ipso potius Athenaeo habuerit quam e communi commentatorum Pindaricorum fonte Didymo.

Αἰτωλῶν.

91. (428)

Strabo VII p. 321: *ὅτι δὲ πλάνητες (οἱ Λέλεγες) καὶ μετ' ἐκείνων (τῶν Καρῶν) καὶ χωρὶς καὶ ἐκ παλαιοῦ καὶ αἱ Ἀριστοτέλους πολιτεῖαι δηλοῦσιν. ἐν μὲν γὰρ τῇ Ἀκαρνάνων φησὶ τὸ μὲν ἔχειν αὐτῆς Κουρῆτας, τὸ δὲ προσεσπέριον Λέλεγας, εἶτα Τηλεβόας· ἐν δὲ τῇ τῶν Αἰτωλῶν τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ· κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν. ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων· ἐν δὲ τῇ Λευκαδίων καὶ αὐτόχθονά τινα Λέλεγα ὀνομάζει, τούτου δὲ θυγατριδοῦν Τηλεβόαν, τοῦ δὲ παῖδας δύο καὶ εἴκοσι Τηλεβόας, ὧν τινὰς οἰκῆσαι τὴν Λευκάδα.*

Ἀκαρνάνων.

92. (429)

Strabo VII p. 321: *ἐν μὲν γὰρ τῇ Ἀκαρνάνων* (*πολιτείᾳ Ἀριστοτέλης*) *φησὶ τὸ μὲν ἔχειν αὐτῆς Κουρῆτας, τὸ δὲ προσεσπέριον Λέλεγας, εἶτα Τηλεβόας* (cf. Aetol. pol.).

93. (430)

Schol. in Pind. Nem. 3, 27 *παγκρατίου στόλῳ: στόλῳ μὲν τῇ στάλσει. εἰσὶ δὲ οἳ τὸ παγκράτιον ἀπαρχαΐζοντες καὶ τὸν Θησέα φασὶ τῷ Μινωταύρῳ παγκρατιαστικῶς ἀγωνίσασθαι. Ἀριστοτέλης δὲ Λεύκαρόν φησι τὸν Ἀκαρνᾶνα πρῶτον ἔντεχνον τὸ παγκράτιον ποιῆσαι.*

Hunc locum ad Olympionicas vulgo referunt (v. Krause, Olympia p. IX et C. Mülleri fr. 261): at illius quidem libri erat memorare quando *τὸ παγκράτιον ἐτέθη μήπω τεθὲν* (scil. ol. 33, primo victore Lygdamide Syracusano, cf. Philostr. de gymn. p. 15 ed. Par. 1858, Paus. 5, 8 et Euseb.), non vero quando vel a quo primum inventum sit, id quod probant historiae ludorum Olympicorum reliquiae apud Philostratum, Pausaniam, Eusebium. et qui Platonis etiam tempore celebres erant Acarnanes pancratiastae (Euthyd. p. 271, quem citat Poll. 3, 150 ubi de pancratio), eorum laudis par est in Acarnanum pol. mentionem fuisse factam.

Ἀκραγαντίνων.

94. (431)

Pollux (e lexico quodam s. v. *λίτρα* comicorum aliorumque scriptorum testimonia congerente, Pamphili scil. vel Diogeniani, cuius apud Photium etiam p. 227, 17 et Antiattic. Bekk. Anecd. I p. 105, 32 vestigia cernuntur. cf. etiam Hesych. s. v.) IV, 174: *καὶ μὴν οἵ γε Δωριεῖς ποιηταὶ τὴν λίτραν ποτὲ μὲν νόμισμά τι λεπτὸν λέγουσιν, οἷον ὅταν Σώφρων ἐν τοῖς γυναικείοις μίμοις λέγῃ ὅτι ὁ μισθὸς δεκάλιτρον καὶ πάλιν ἐν ἀνδρείοις «σῶσαι δ' οὐδὲ τὰς δύο λίτρας δύναμαι»· ποτὲ δὲ σταθμόν τινα, ὡς Δεινόλοχος ἐν Μηδείᾳ «τετταρακονταλίτρους τινὶ νεανίσκῳ πέδας». Ἀριστοτέλης δ' ἐν Ἀκραγαντίνων πολιτείᾳ προειπὼν ὡς ἐζημίουν πεντήκοντα λίτρας, ἐπάγει «ἡ δὲ λίτρα δύναται ὀβολὸν Αἰγιναῖον». ἐν δ' Ἱμεραίων πολιτείᾳ φησὶν ὡς οἱ Σικελιῶται τοὺς μὲν δύο χαλκοῦς ἑξᾶντα* (ita codd. quidam, al. *δίξαντα*, edd. ant. *ἑξάλιτρα*) *καλοῦσι, τὸν δὲ ἕνα οὐγκίαν, τοὺς δὲ τρεῖς* (corr. *τέτταρας*, v. Boeckh, Metr. U. p. 293) *τριᾶντα* (ita codd. quidam. edd. ant. *τριάκοντα*), *τοὺς δὲ ἓξ ἡμίλιτρον, τὸν δὲ ὀβολὸν λίτραν, τὸν δὲ Κορίνθιον στατῆρα δεκάλιτρον ὅτι δέκα ὀβολοὺς δύναται. ἔνιοι δὲ καὶ τῶν Ἀθήνησι κωμῳδούντων τῶν νέων, οἷον Φιλήμων ἐν Σικελικῷ καὶ Ποσείδιππος ἐν Γαλάτῃ, λίτρας μνημονεύουσιν.* quae ex eodem fonte partim repetuntur partim augentur a Poll. IX, 80 (postquam de nummo dixit ex Arist. Tarent. pol.): *καὶ μὴν ἐν Ἀκραγαντίνων πολιτείᾳ φησὶν Ἀριστοτέλης ζημιοῦσθαί τινας τριάκοντα λίτρας, δύνασθαι δὲ τὴν λίτραν ὀβολὸν Αἰγιναῖον. ἀλλὰ μέντοι παρ' αὐτῷ τις ἂν ἐν τῇ Ἱμεραίων πολιτείᾳ καὶ ἄλλα εὕροι Σικελικῶν νομισμάτων ὀνόματα οἷον οὐγκίαν ὅπερ δύναται χαλκοῦν ἕνα, καὶ ἑξᾶντα* (codd. *ἓξ τάλαντα.* corr. Bentley, Works II p. 38. 67 ed. Lond. 1836. *διξᾶντα* vulgo post Iungermannum et Hemsterhusium. cf. Ahrens, de dial. Dor. p. 392) *ὅπερ ἐστὶ δύο χαλκοῖ, καὶ τριᾶντα* (codd. *τρία τάλαντα*, corr. Bentley. *τριξᾶντα* Iungerm. et Hemst.) *ὅπερ*

τρεῖς (corr. *τέτταρες*), *καὶ ἡμίλιτρον ὅπερ ἕξ, καὶ λίτραν ἣν εἶναι ὀβολόν· τὸ μέντοι δεκάλιτρον δύνασθαι μὲν δέκα ὀβολούς, εἶναι δὲ στατῆρα Κορίνθιον. ὅτι δὲ καὶ τῶν κωμῳδῶν τινὲς τῆς λίτρας μνημονεύουσιν, ἐν τοῖς περὶ στατικῆς* (i. e. l. c. IV, 175) *προείρηται· οὐ γὰρ οἱ Δωριεῖς μόνον ἀλλὰ καὶ τῶν Ἀττικῶν τινές, ὡς Δίφιλος* (add. *ἢ Φιλήμων*, cui fabula haec etiam ab Athenaeo XIV, 658 tribuitur. Diphili nomen a Photio confirmatur. *ὡς Δίφιλος, καὶ Φιλήμων ἐν Σ.* voluit Meineke, Fr. com. Gr. IV p. 26) *ἐν Σικελικῷ . . . σὺν δὲ τῇ λίτρᾳ καὶ ἄλλα ὠνόμασε νομισμάτων ὀνόματα Ἐπίχαρμος ἐν Ἁρπαγαῖς* . . . (eadem fere quae supra Aristoteles).

Cf. Phot. s. *λίτρα: ἦν μὲν καὶ νόμισμά τι ὡς Δίφιλος· ἐπὶ δὲ τοῦ σταθμοῦ Ἐπίχαρμός τε καὶ Σώφρων ἐχρήσαντο. Σοφοκλῆς δὲ* etc. similiter Antiatt. cf. Hesych. s. *λίτρα: ὀβολός* (ex Aristot. cf. Etym. Gud. p. 371, 22)· *οἱ δὲ νόμισμα παρὰ Σικελοῖς, οἱ δὲ ἐπὶ σταθμοῦ* (*σταθμῶν* ed.). *οἱ δὲ Ῥωμαῖοι διὰ τοῦ β λίβρα.*

Ceterum de ipsis Arist. fr. v. Boeckh, Metrol. Unters. p. 351 et 293. cf. Mommsen, Gesch. des Römischen Münzwesens p. 78 sqq.

Ἀμβρακιωτῶν.

95. (432)

Stephani Byz. epit. s. *Δεξαμεναί: μέρος τῆς Ἀμβρακίας, ἀπὸ Δεξαμενοῦ τοῦ Μεσόλου παιδὸς καὶ Ἀμβρακίας τῆς θυγατρὸς Φόρβαντος τοῦ Ἡλίου. τὸ ἐθνικὸν Δεξαμεναῖος, ὡς Ἀριστοτέλης φησὶν ἐν τῇ Ἀμβρακιωτῶν πολιτείᾳ.*

(*Ἀντανδρίων.*)

96. (433)

Steph. Byz. s. *Ἄντανδρος: πόλις ὑπὸ τὴν Ἴδην πρὸς τῇ Μυσίᾳ τῆς Αἰολίδος, ἀπὸ Ἀντάνδρου τοῦ στρατηγοῦ Αἰολέων. τὸ ἐθνικὸν Ἀντάνδριος. Ἀριστοτέλης φησὶ ταύτην ὠνομάσθαι Ἠδωνίδα διὰ τὸ Θρᾷκας Ἠδωνοὺς ὄντας οἰκῆσαι, καὶ Κιμμερίδα Κιμμερίων ἐνοικούντων ἑκατὸν ἔτη.*

Cf. Plin. n. h. V s. 32, 123: *rursus in litore Antandros Edonis prius vocata, dein Cimmeris.*

Ἀργείων.

97. (434)

Plin. VII, s. 57 (e Philostephano *περὶ εὑρημάτων*, cf. ad Chalcedon.

pol.): *turres, ut Aristoteles, Cyclopes (invenerunt), Tirynthii, ut Theophrastus.*

Sedem fragmenti illustrat Strabo VIII p. 372 extr.: *τῇ μὲν οὖν Τίρυνθι ὁρμητηρίῳ χρήσασθαι δοκεῖ Προῖτος καὶ τειχίσαι διὰ Κυκλώπων, οὓς ἑπτὰ μὲν εἶναι, καλεῖσθαι δὲ γαστερόχειρας τρεφομένους ἐκ τῆς τέχνης, ἥκειν δὲ μεταπέμπτους ἐκ Λυκίας.* sententias autem Aristotelis et Theophrasti parum differre patet.

98. (435)

Pollux X, 179: *εἴη δ' ἂν καὶ φείδων τι ἀγγεῖον ἐλαιηρὸν ἀπὸ τῶν Φειδωνίων μέτρων ὠνομασμένον, ὑπὲρ ὧν ἐν Ἀργείων πολιτείᾳ Ἀριστοτέλης λέγει.*

99. (436)

Strabo VIII p. 373 Cas.: *Δρυόπων δ' οἰκητήριόν φασι* (sicut Hermionen) *καὶ τὴν Ἀσίνην* (quae postea erat *κώμη τῆς Ἀργείας πλησίον Ναυπλίας*, ut Strabo p. 373[b]. cf. O. Müller, Dor. I, 155), *εἴτ' ἐκ τῶν περὶ Σπερχειὸν τόπων ὄντας αὐτοὺς Δρύοπος τοῦ Ἀρκάδος* (cf. Schol. Apollon. Rh. I, 1212. 1218) *κατοικίσαντος ἐνταῦθα, ὡς Ἀριστοτέλης φησίν, ἢ Ἡρακλέους ἐκ τῆς περὶ τὸν Παρνασὸν Δωρίδος* (ut ipsi aiebant Asinaei in Messenia sec. Paus. 4, 34) *ἐξελάσαντος αὐτούς.*

100. (437?)

Eustath. ad Il. (*δ*, 51 ubi sic ait Iuno: *ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες, Ἄργος τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη· τὰς διαπέρσαι* etc.) p. 443 Rom.: *δοκεῖ δὲ ἐνταῦθα μαντικώτερον παραλαλεῖν ὁ ποιητὴς τὴν τῆς Μυκήνης ἀπώλειαν, ἣν ἐκ τῶν ῥηθεισῶν τριῶν κακῶς παθοῦσαν καὶ Ἀριστοτέλης ἱστόρησε.*

Ubi quae praecedunt desumsit Eustathius e scholiis Homericis (BL ad *δ*, 51), e Strabone autem (8 p. 377 et 372: *χρόνοις δ' ὕστερον κατεσκάφησαν ὑπ' Ἀργείων, ὥστε νῦν μηδ' ἴχνος εὑρίσκεσθαι τῆς Μυκηναίων πόλεως*) quae sequuntur. Aristotelis autem mentionem (cf. Grashof p. 141) ad meteor. I, 14. 352, 9 spectare verisimiliter statuit Bournot (p. 284), quanquam ibi non de urbe, sed de locorum corruptione sermo sit (scil. *ἡ Μυκηναίων χώρα* quae olim *καλῶς εἶχε· διὸ ἐντιμοτέρα ἦν*, nunc *ἀργὴ γέγονε καὶ ξηρὰ πάμπαν*, contrarium autem *τῇ Ἀργείων* accidit).

Ἀρκάδων.

101. (438)

Harpocr. (e quo Phot. et Suid., Arist. om. test. cf. gl. alt. ap. Phot. p. 280, 17 et Lex. Seg. p. 280, 4) *μύριοι ἐν Μεγάλῃ πόλει: Δη-*

μοσθένης ἐν τῷ κατ' Αἰσχίνου (or. 19, 11. 198). *συνέδριόν ἐστι κοινὸν Ἀρκάδων ἁπάντων, οὗ πολλάκις μνημονεύουσιν οἱ ἱστορικοί. διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν τῇ κοινῇ Ἀρκάδων πολιτείᾳ ἀρχόμενος τοῦ βιβλίου* (ubi scil. de foederis Arcadici constitutione diceret Epimanondae tempore facta).

Ἀχαιῶν.

Excerpta quaedam ex Achaeorum republica in Sopatri sophistae *Ἐκλογῶν* libro XII olim legebantur (Photio testante in biblioth. cod. 161 p. 104b42 Bekk.), nescio an ab aliis accepta. cf. praef. in polit.

Βοττιαίων.

102. (439)

Plutarch. Thes. 16: *ὅτι μὲν οὖν Ἀνδρόγεω περὶ τὴν Ἀττικὴν ἀποθανεῖν δόλῳ δόξαντος ὅ τε Μίνως πολλὰ κακὰ πολεμῶν εἰργάζετο τοὺς ἀνθρώπους καὶ τὸ δαιμόνιον ἔφθειρε τὴν χώραν· ἀφορία τε γὰρ καὶ νόσος ἐπέσκηψε πολλὴ καὶ ἀνέδυσαν οἱ ποταμοί· καὶ τοῦ θεοῦ προστάξαντος ἱλασαμένοις τὸν Μίνω καὶ διαλλαγεῖσι λωφήσειν τὸ μήνιμα καὶ τῶν κακῶν ἔσεσθαι παῦλαν ἐπικηρυκευσάμενοι καὶ δεηθέντες ἐποιήσαντο συνθήκας, ὥστε πέμπειν δι' ἐννέα ἐτῶν δασμὸν ἠϊθέους ἑπτὰ καὶ παρθένους τοσαύτας, ὁμολογοῦσιν οἱ πλεῖστοι τῶν συγγραφέων. τοὺς δὲ παῖδας εἰς Κρήτην κομιζομένους ὁ μὲν τραγικώτατος μῦθος ἀποφαίνει τὸν Μινώταυρον ἐν τῷ λαβυρίνθῳ διαφθείρειν . . . Φιλόχορος δέ φησιν οὐ ταῦτα συγχωρεῖν Κρῆτας, ἀλλὰ λέγειν . . . Ἀριστοτέλης δὲ καὶ αὐτὸς ἐν τῇ Βοττιαίων πολιτείᾳ δῆλός ἐστιν οὐ νομίζων ἀναιρεῖσθαι τοὺς παῖδας ὑπὸ τοῦ Μίνω, ἀλλὰ θητεύοντας ἐν τῇ Κρήτῃ καταγηράσκειν· καί ποτε Κρῆτας εὐχὴν παλαιὰν ἀποδιδόντας ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστέλλειν, τοῖς δὲ πεμπομένοις ἀναμιχθέντας ἐκγόνους ἐκείνων συνεξελθεῖν· ὡς δὲ οὐκ ἦσαν ἱκανοὶ τρέφειν ἑαυτοὺς αὐτόθι πρῶτον μὲν εἰς Ἰταλίαν διαπεράσαι κἀκεῖ κατοικεῖν περὶ τὴν Ἰαπυγίαν, ἐκεῖθεν δὲ αὖθις εἰς Θρᾴκην κομισθῆναι καὶ κληθῆναι Βοττιαίους· διὸ τὰς κόρας τῶν Βοττιαίων θυσίαν τινὰ τελούσας ἐπᾴδειν «ἴωμεν εἰς Ἀθήνας».*

Eodem fragmento Plutarchus usus est in Quaest. Graec. 35: *Τί δή ποτε ταῖς κόραις τῶν Βοττιαίων ἔθος ἦν λέγειν χορευούσαις «ἴωμεν εἰς Ἀθήνας»; Κρῆτάς φασιν εὐξαμένους ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστεῖλαι, τοὺς δὲ πεμφθέντας ὡς ἑώρων οὐδεμίαν οὖσαν εὐπορίαν, αὐτόθεν εἰς ἀποικίαν ὁρμῆσαι· καὶ πρῶτον μὲν ἐν Ἰαπυγίᾳ κατοικῆσαι, ἔπειτα τῆς Θρᾴκης τοῦτον τὸν τόπον κατασχεῖν ἀναμεμιγμέ-*

νων αὐτοῖς Ἀθηναίων. ἔοικε γὰρ μὴ διαφθείρειν ὁ Μίνως οὓς ἔπεμπον Ἀθηναῖοι κατὰ τὸν δασμὸν ἠϊθέους, ἀλλὰ κατέχειν παρ' ἑαυτῷ λατρεύοντας. ἐξ ἐκείνων οὖν τινὲς γεγονότες καὶ νομιζόμενοι Κρῆτες εἰς Δελφοὺς συναπεστάλησαν· ὅθεν αἱ θυγατέρες τῶν Βοττιαίων ἀπομνημονεύουσαι τοῦ γένους ᾖδον ἐν ταῖς ἑορταῖς «ἴωμεν εἰς Ἀθήνας».

Diversa est de Bottiaeorum origine narratio Cononis c. 25, cf. Strabo VI p. 279. *λέγεται γὰρ ἀμφοτέρως*, ut ait idem Strabo VI p. 282 utramque tangens fabulam.

Γελώων.

103. (440)

Schol. (e Did.) in Pind. Pyth. I, 89 *καμάτων δ' ἐπίλασιν παράσχοι: καμάτων φησὶ τῶν συνεχόντων τὸν Ἱέρωνα ἐκ τοῦ νοσήματος τῆς λιθουρίας. φησὶ γάρ που καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Γελώων πολιτείᾳ Γέλωνα τὸν τοῦ Ἱέρωνος ἀδελφὸν ὑδέρῳ νοσήματι τὸν βίον τελευτῆσαι, αὐτὸν δὲ τὸν Ἱέρωνα ἐν τῇ τῶν Συρακουσίων πολιτείᾳ δυσουρίᾳ* (== *λιθουρίᾳ, λιθιάσει* cf. Schol. Pind. Pyth. III inscr. et ad v. 111) *δυστυχῆσαι.*

Eosdem locos coniunctim citatos legisse Plutarchus deprehenditur de Pyth. orac. c. 19, ubi mentione facta oraculi Dinomeni Siculo dati de tribus filiis tyrannis (cf. Diod. 11, 67) ita addit: *ἴστε τοίνυν ὅτι Γέλων μὲν ὑδρωπιῶν, Ἱέρων δὲ λιθιῶν ἐτυράννησεν· ὁ δὲ τρίτος Θρασύβουλος ἐν στάσεσι καὶ πολέμοις γενόμενος χρόνον οὐ πολὺν ἐξέπεσε τῆς ἀρχῆς.*

Δηλίων.

104. (491)

Plinius n. h. IV, s. 22 (cf. Solin. 11, 18—19): *hanc* (*Delum*) *Aristoteles ita appellatam tradit, quoniam repente apparuerit enata. Aglaosthenes* (vulgo *Acglosthenes*) *Cynthiam, alii Ortygiam, Asteriam, Lagiam* (cf. Solin. *a venatibus Lagia vel Cynetho*, *Πελασγία* Steph.), *Chlamydiam, Cynaethum, Pyrpilen igne ibi primum reperto.*

De Deli nominis origine cf. Schol. Apoll. Rh. I, 308: *Δῆλος μία τῶν Κυκλάδων νήσων, ἱερὰ Ἀπόλλωνος, ἡ πρὶν μὲν ἄδηλος, ὕστερον δὲ Ἀστερία ... πάλιν δὲ Ὀρτυγία* etc. et Etym. M. p. 264, 22 *Δῆλος: ἡ ἱερὰ τοῦ Ἀπόλλωνος. εἴρηται ὅτι κρυπτομένην αὐτὴν ἐν τῇ θαλάσσῃ ὁ Ζεὺς δήλην ἐποίησε καὶ ἀνέδωκε.* ubi quae sequitur alia cum simili explicatione narratio de Latonae partu, ea et ab Etymologo et ab Eustathio (in Od. p. 1557, 54) e schol. (Ven. A) Il. *α*, 9 (cf. Eust. in Dion. 525: *διότι φερομένη ποτὲ ὑπὸ θάλασσαν, ἀνέσχεν ὕστερον κάτωθεν, ὡς καὶ*

ἄλλαι τινές, καὶ ἐξ ἀδήλου βάσεως ἐρριζώθη στηριχθεῖσα) sumta est. Aristotelis testimonium deberi videtur Nicanori (antiquiori eorum de quibus C. Müller, Fr. hist. III p. 632) τῷ περὶ μετονομασιῶν γεγραφότι (quem appellat Harp. s. Ἀκή citabantque Apollonii Rh. commentatores, velut Theon, cuius ut credo scholium p. 494, 6 Keil), sicut plurima quae de hoc nominum in insulis maxime maris Aegaei mutatorum argumento et Stephanus habet (cf. max. s. Πάρος) et qui e communi fonte sua (una cum scriptoribus Graecis quos citat omnibus, Aristotele, Callimacho, Xenagora in l. περὶ νήσων ad metonomasias quoque attento, ut docet Schol. Apoll. Rh. 2, 623, et ceteris) derivavit Plinius in libro IV et V (cf. etiam Arrianus apud Eustath. in Dionys. v. 492 sqq. passim citatus, at non ex Bithynicis, ut voluit C. Müller in prolegom. ad Geogr. Gr. min. p. 114 not. t. I ed. Par. 1855, sed ex aliis eius libris, id quod recte statuisse credo Guil. Hofmannum in ed. Peripl. Lips. 1842 p. VIII). quod ad Delum cf. Steph. s. Δῆλος ... ἐκαλεῖτο δὲ Κύνθος ... καὶ Ἀστερία καὶ Πελασγία καὶ Χλαμυδία ... κεκλῆσθαι δὲ αὐτὴν καὶ Σκυθίδα Νικάνωρ φησίν.

105. (442)

Diogenes Laert. VIII, 13: ἀμέλει καὶ βωμὸν προσκυνῆσαι (Πυθαγόραν φασὶν) μόνον ἐν Δήλῳ τὸν Ἀπόλλωνος τοῦ γενέτορος, ὅς ἐστιν ὄπισθεν τοῦ κερατίνου, διὰ τὸ πυροὺς καὶ κριθὰς καὶ πόπανα μόνα τίθεσθαι ἐπ' αὐτοῦ ἄνευ πυρός, ἱερεῖον δὲ μηδέν, ὥς φησιν Ἀριστοτέλης ἐν Δηλίων πολιτείᾳ.

Cf. Iamblichus de vita Pythag. 25: λέγεται δὲ περὶ τὸν αὐτὸν χρόνον θαυμασθῆναι αὐτὸν περὶ τὴν Δῆλον προσελθόντα μόνον (codd. iterum αὐτὸν quod delent Kiessling et in ed. Par. Westermann) πρὸς τὸν ἀναίμακτον, λεγόμενον δὲ (codd. καὶ) τοῦ γενέτορος Ἀπόλλωνος βωμὸν καὶ τοῦτον θεραπεύσαντα. et iterum 35: καθάπερ καὶ πρότερον ὅτε εἰς Δῆλον κατέπλευσεν· ἐκεῖ τε γὰρ πρὸς μόνον τὸν βωμὸν τὸν τοῦ γενέτορος Ἀπόλλωνος προσευξάμενος, ὃς μόνος ἀναίμακτός ἐστιν, ἐθαυμάσθη παρὰ τοῖς ἐν τῇ νήσῳ.

106. (443)

Athen. VII p. 296c: Ἀριστοτέλης δ' ἐν τῇ Δηλίων πολιτείᾳ (Γλαῦκόν φησι τὸν θαλάττιον δαίμονα) ἐν Δήλῳ κατοικήσαντα μετὰ τῶν Νηρηΐδων τοῖς θέλουσι (τοῖς θεοῖς cod. Marc.) μαντεύεσθαι.

(Ἐπιδαυρίων.)

107. (444)

Strabo VIII p. 374: ἡ Ἐπίδαυρος δ' ἐκαλεῖτο Ἐπίκαρος (in codd.

legitur *ἐπίταυρος*, ut apud Steph., e Stephano scil. illatum a librario quodam, ut putat Alex. Politus ad Eustath. ed. Florent. 1732 p. 603. nisi forte erat *ἐκαλεῖτο Ἐπίταυρος· καὶ Ἐπίκαρος* etc. *Ἐπίκαρος* quod est in epit. Strabonis Vatic. legebaturque ab Eustathio, inde a Casaubono merito restituitur). *φησὶ γὰρ Ἀριστοτέλης κατασχεῖν αὐτὴν Κᾶρας, ὥσπερ καὶ Ἑρμιόνην, τῶν δ' Ἡρακλειδῶν κατελθόντων Ἴωνας αὐτοῖς συνοικῆσαι τοὺς ἐκ τῆς Ἀττικῆς τετραπόλεως συνεπομένους εἰς Ἄργος. καὶ αὕτη δ' οὐκ ἄσημος ἡ πόλις* etc.

Cf. Steph. s. *Ἐπίδαυρος*: *πόλις πρὸς τῷ Ἄργει θηλυκῶς λεγομένη ... τινὲς δὲ Λειμήρην ... ἐκαλεῖτο καὶ Μειλισσία* (*Μιλησία* Eust.) *καὶ Λίμηρὰ διὰ τὸ συνεχῶς αἱμάσσεσθαι τὸν βωμὸν ... εἶτα Ἐπίταυρος καὶ Ἐπίδαυρος.* utrumque locum repetit Eustath. in Il. p. 287: *Ἐπίδαυρος δὲ θηλυκῶς μὲν λέγεται κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα, εἰπόντα ... εἶτα Ἐπίταυρος καὶ ἐκεῖθεν Ἐπίδαυρος· κατὰ δὲ τὸν γεωγράφον καὶ Ἐπίκαρον αὐτὴν οἴονταί τινες ὡς Καρῶν αὐτήν ποτε κατεχόντων.*

Ἠλείων.

108. (445)

Harpocr. (e quo Suid., Ar. nom. om.) s. *ἑλλανοδίκαι*: *Ὑπερίδης ἐν τῷ ὑπὲρ Καλλίππου πρὸς Ἠλείους. Ἀριστοτέλης Ἠλείων πολιτείᾳ τὸ μὲν πρῶτόν φησιν ἕνα καταστῆσαι τοὺς Ἠλείους ἑλλανοδίκην, χρόνου δὲ διελθόντος β̄, τὸ δὲ τελευταῖον θ̄. Ἀριστόδημος δ' ὁ Ἠλεῖός φησι τοὺς τελευταίους τιθέντας τὸν ἀγῶνα ἑλλανοδίκας εἶναι ῑ, ἀφ' ἑκάστης φυλῆς ἕνα.*

Eundem Aristodemi locum citaverat Didymus in Pind. Olymp. 3, 22 (Schol. p. 95 Boeckh): *περὶ δὲ τοῦ τῶν ἑλλανοδικῶν ἀριθμοῦ Ἑλλάνικός φησι καὶ Ἀριστόδημος, ὅτι τὸ μὲν πρῶτον β̄, τὸ δὲ τελευταῖον ῑ· τοσαῦται γὰρ αἱ τῶν Ἠλείων φυλαὶ καὶ ἀφ' ἑκάστης εἷς ἦν ἑλλανοδίκης.* Aristodemum sequi videtur etiam Pausanias (5, 9), qui de hellanodicarum numero accurate exponens eosdem numeros tradit 1. 2. 9 et mox 10, decemque tribubus respondentes, postquam per breve tempus ol. 103 in 12, ol. 104 in 8 mutati fuerint, ol. 108 restitutos usque ad ipsius aetatem permansisse asserit. quali e disputatione etiam apud Etym. M. p. 331, 20 (= Lex. rhet. Seg. p. 248, 32) s. *ἑλλανοδίκαι* hi numeri restant male electi: *καὶ ἦσαν οὗτοι τὸ μὲν πάλαι ἐννέα εἶτα δέκα* (male *δύο* in Etym.) *καὶ τὸ τελευταῖον η̄* (male *πεντήκοντα* in Lex. Seg.), nisi potius scribendum est *εἷς, δύο,* ῑ (unde ν̄ in Lex. Seg.).

109. (446)

Strabo VIII p. 345: *τινὲς δὲ ὅλην μὲν (τὴν νῦν Ἠλείαν) μὴ κατασχεῖν αὐτούς* (sc. *τοὺς Καύκωνας*), *δίχα δὲ μεμερισμένους οἰκεῖν, τοὺς μὲν πρὸς τῇ Μεσσηνίᾳ κατὰ τὴν Τριφυλίαν* (*περὶ Λέπρειον* p. 342. cf. Schol. ad Odyss. *γ*, 366), *τοὺς δὲ πρὸς τῇ Δύμῃ κατὰ τὴν Βουπρασίδα καὶ τὴν κοίλην Ἦλιν· Ἀριστοτέλης δ' ἐνταῦθα* (sc. *περὶ Δύμην καὶ Ἦλιν καὶ τὸν Καύκωνα* p. 342 cf. *Δύμη Καυκωνίς* ib.) *μάλιστα οἶδεν ἱδρυμένους αὐτούς.*

Haec licet inter quaestiones Homericas (*ζητοῦσι* p. 342) a Strabone inferantur (scil. ad Od. *γ*, 366), ad Aristotelis *ἀπορήματα Ὁμηρικά* (id quod malit Müller ad fr. 93) pertinere non videntur.

Ἠπειρωτῶν.

110. (447)

Steph. Byz. ep. s. *Ἀμύνται*: *ἔθνος Θεσπρωτικόν. «μένος πνείοντες Ἀμύνται* (codd. *Ἀμύντου*)». *καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Ἠπειρωτῶν πολιτείᾳ.*

Quum haec sequantur alteram glossam *Ἄμυμνοι*: *ἔθνος Ἠπειρωτικόν. Ῥιανός. λέγεται καὶ Ἀμυμναῖος* (cf. Harpalycus rex Amymnaeorum Thrax in Hygini fab. 193. 252. Serv. in Aen. 1, 317) *καὶ Ἀμυμναία*, quae ad eundem populum spectare videtur, facile concedas Meinekio (Anal. Alex. p. 188) et C. Müllero (ad fr. pol. 134) suspicantibus versus particulam illam Rhiano vindicandam esse. eum enim in quarto Thessalicorum Epiroticos (Molossicos scil. et Thesproticos) populos enumerasse ex ipso Stephano saepissime citante intelligitur. — cf. Thessal. polit. fr. 111 (de Aminaeis).

Θετταλῶν.

De Sopatri excerptis (Phot. bibl. c. 161) vid. ad Achaeorum pol.

111. (448)

Iunius Philargyrius (s. Iunilius Flagrius, cf. Suringar, hist. schol. Lat. II p. 272. G. Thilo in Rhein. Mus. N. F. XV. 1860 p. 119. 127. 134) in Virgil georg. II, 97 *sunt et Aminaeae* (*vites, firmissima vina* cf. Plin. n. h. 14 s. 4, 21: *principatus datur Aminaeis firmitatem propter* etc.): *Aminaeos Aristoteles in politicis* (*in polypticis* cod. Guelpherbyt. Servii fol. Aug .7, 10 f. 25[b]. corr. *in politiis*) *hoc scribit Thessalos fuisse, qui suae regionis vites in Italiam transtulerint, atque illis inde nomen impositum.*

Haec uti nunc legis parcius exhibita et fere nuda in Italica quadam

republica retulisse Aristoteles videbitur, non de Thessalis ille agens, sed de vite Aminaea Italiae, ut Columella tradit, vetustissima (de re rust. 3, 9: *cum vetustissimas quasque vineas adhuc existimemus Aminaeas* cf. Plin. 14, 16, 95), cuius a Catone et Varrone celebratae varia genera (de quibus Plin. 14, 4. Colum. 3, 2. Cato de re rust. 7, 1) multis et Italiae locis (velut *ἐν τοῖς περὶ Νεάπολιν χωρίοις*, unde appellabatur vinum Neapolitanum secundum Galen. therap. meth. 12, 4 p. 833 Lips., quo loco non recte usus est L. Jan ad Macrob. t. II p. 360. ut autem *ὁ Ἀμιναῖος ὁ Νεαπολίτης*, ita clarus erat secundum eundem Galenum p. 834 *ὁ Ἀμιναῖος ὁ Σικελός*. de Aminaea Campaniae Scantiana v. Plin. 14, 4, 47) colebantur et extra Italiam (Aminaea Syriaca Plin. 14, 4, 41. de Bithynica Geopon. 5, 17. cf. 4, 1, 3. 8, 22. add. Probus ad Virg. p. 47, 25 Keil). de nomine quanquam tria extant testimonia, incerta tamen res est. a Thessalis enim secundum Aristotelem oriundos Aminaeos ad Peucetiam refert Hesychius s. *Ἀμιναῖον: δι᾽ ἑνὸς ν, τὸν οἶνον λέγει· ἡ γὰρ Πευκετία Ἀμιναία λέγεται.* at Macrobius (Saturn. 3, 20, 6) ita: *uvarum ista sunt genera, Aminaea, scilicet a regione, nam Aminaei fuerunt ubi nunc Falernum est.* ubi quum Harduinus (t. III p. 163 ed. Par. 1685) de Salentino Peucetiae agro cogitans (propter Plin. 3, 16, 99) male Salentum ficto urbis quod desideratur nomine proposuisset, alii (I. H. Voss, Des Virg. ländl. Ged. t. III p. 300 ed. Alton. 1800) cum uno quodam ut fertur codice Salernum legunt, id quod facillimum est et veri simile, apud Hesychium autem *Πικεντία*. et sane in Picentino Campaniae agro, cuius olim, ut Strabo ait l. V. extr., metropolis erat Picentia, postea Salernum (quapropter aequum erat Aminaeos dicere ubi nunc Salernum, non ubi Picentia), Thessalorum fabulosa invenis (cum Sybaritis) vestigia apud Plinium (n. h. 3, 9, 70): *a Surrento ad Silarum amnem triginta milia passuum ager Picentinus fuit Tuscorum, templo Iunonis Argivae ab Iasone condito insignis* (cf. Strabo lib. VI init.). *intus oppidum Salerni, Picentia.* Iasonis autem nomen (v. O. Müller, Orchom. p. 243 sqq.) suspicionem movet, de Minyis Thessalis narrantem vini Aminaei originem parum feliciter quaesivisse Aristotelem, ita ut e Thessalorum republica iam concedas sua revera accepisse Virgilii commentatores. aliam plane vini Aminaei (utpote sine minio i. e. albi) explicationem ineptam promit Servius, e quo Isidor. orig. 17, 5, 18 cf. 20, 3, 5. ceterum cf. Amymnaeos (unde Aminnaeos?) in fr. Epirot. pol.

112. (449)

Eustath. in Odyss. ν, 408 p. 1746 Rom. (ubi de proverbio ἐς κόρακας): *Παυσανίας δέ φησιν ὅτι Βοιωτοῖς (ἀναστάτοις ὑπὸ Θρᾳκῶν γε-*

νομένοις καὶ περὶ ἀποικίας μαντευομένοις, ut additur in schol. Aristoph.) *ἔχρησεν ὁ θεός, ἔνθα λευκοὶ κόρακες αὐτοῖς ὀφθῶσιν, ἐκεῖ κατοικεῖν. ἰδόντες οὖν φησὶ κόρακας πετομένους περὶ τὸν Παγασητικὸν κόλπον* (*τοὺς τοῦ Ἀπόλλωνος ἱεροὺς* add. schol. Aristoph. et Phot. p. 20, 2), *οὓς ἄκακοι* (*ὑπὸ μέθης* scil. ut in schol., cf. *μεθυσθέντες* Zen.) *παῖδες ἐγύψωσαν, καὶ* (*τελεῖσθαι τὸν χρησμὸν φήσαντες* add. schol.) *ᾤκησαν ἐκεῖ καλέσαντες τὸ χωρίον Κόρακας· ὕστερον δὲ Αἰολεῖς ἐκβαλόντες αὐτοὺς ἔπεμπον ἐκεῖ τοὺς φυγαδευομένους. ὁ δ' αὐτὸς λέγει καὶ ὅτι Ἀριστοτέλης ἱστορεῖ λοιμοῦ κατασχόντος καὶ κοράκων πολλῶν γενομένων τοὺς ἀνθρώπους θηρεύοντας αὐτοὺς καὶ περικαθαίροντας ἐπαοιδαῖς ἀφιέναι ζῶντας καὶ ἐπιλέγειν τῷ λοιμῷ φεῦγ' εἰς κόρακας.*

Ab historica hac explicatione politicaque plane diversa sunt quae iam sequuntur Aesopi (fab. 101) et Aristidis paroemiographi: quas omnes Pausaniae copias e lexico Attico repetunt Photius (p. 19, 24 = Apostol. 7, 96) et ex parte (ita scil. ut primae explicationis loco alia verba Zenobianis gemina insererentur) Suidas s. *ἐς κόρακας* (cf. etiam schol. in Clem. Alex. p. 97 ed. Lips.). eas autem Didymeas esse praeter schol. in Aristoph. nub. 133 et glossam Hesychii fere nudam docet Zenob. 3, 87, qui prima tantum retinens ait s. *ἐς κόρακας*: *ἐν Θεσσαλίᾳ τόπος ἐστὶ Κόρακες, ὅπου τοὺς κακούργους ἔβαλλον* (ita propter alteram proverbii formam *βάλλ' ἐς κόρακας* Zen. 2, 77, Schol. Ar. l. c., Suid. s. v.)· *ὅθεν ἡ παροιμία. μέμνηται δὲ ταύτης Μένανδρος συνεχῶς. λέγουσι δὲ ὅτι Βοιωτοῖς Ἄρνην* (scil. *τῆς Φθιώτιδος*, cf. Schol. Il. π, 433. de Boeotis in Thessalia Arnaeis cf. O. Müller, Orchom. p. 385, de situ oppidi idem in Gött. Gel. Anz. 1829 p. 2038) *ποτὲ οἰκοῦσι* (ita Suid., *διοικοῦσι* Zen.) *προείρητο ὑπὸ τοῦ θεοῦ ἐκπεσεῖσθαι τῆς χώρας λευκῶν κοράκων φανέντων. νεανίσκοι δέ ποτε μεθυσθέντες καὶ συλλαβόντες κόρακας, γυψώσαντες ἀφῆκαν πέτεσθαι* (cf. Suid. *ἐγύψωσαν κατὰ παίγνιον καὶ ἀπέστειλαν πωτᾶσθαι*)· *ἰδόντες δὲ οἱ Βοιωτοὶ ἐταράχθησαν ὡς τῆς μαντείας λαβούσης τὸ τέλος. καὶ φοβηθέντες οἱ νεανίσκοι τὸν θόρυβον, φυγόντες ᾤκησάν τινα τόπον ὃν ἐκάλεσαν Κόρακας. μετὰ δὲ ταῦτα ἐκβαλόντες τοὺς Βοιωτοὺς οἱ Αἰολεῖς* (immo *οἱ Θεσσαλοὶ*) *ἔσχον τὴν Ἄρνην οἰκείαν οὖσαν καὶ τοὺς ἁμαρτάνοντας μεθιστᾶσιν εἰς τοὺς Κόρακας καλουμένους.*

Aristotelis explicationem (quam ad proverbiorum librum Aristotelis nunquam citatum refert C. Müller fr. 280) licet ita breviter exposita sit ut minus quam cui opponitur praecedenti Thessalorum reipublicae convenire epitomatoris culpa videatur cetera quae eadem essent repetere negligentis, quum similis tamen sit, ad eandem redire eandemque rem spectasse

credo. erat autem sermo de penestarum origine, de qua ita Archemachus in Euboicis (Athen. VI p. 263 cf. Phot. = Suid. s. *πενέσται*): *Βοιωτῶν τῶν τὴν Ἀρναίαν κατοικισάντων οἱ μὴ ἀπάραντες εἰς τὴν Βοιωτίαν ἀλλ' ἐμφιλοχωρήσαντες παρέδωκαν ἑαυτοὺς τοῖς Θετταλοῖς δουλεύειν* etc.

113. (450)

Harpocrat. s. *τετραρχία*: *Δημοσθένης Φιλιππικοῖς* (3, 26. cf. 2, 22). *τεττάρων μερῶν ὄντων τῆς Θετταλίας ἕκαστον μέρος τετρὰς ἐκαλεῖτο, καθά φησιν Ἑλλάνικος ἐν τοῖς Θετταλικοῖς. ὄνομα δέ φησιν εἶναι ταῖς τετράσι Θετταλιῶτιν Φθιῶτιν Πελασγιῶτιν Ἑστιαιῶτιν* (eadem nomina apud Strabon. IX p. 430. cf. Apollodorus apud Schol. Apollon. 3, 1090 et Aristarchus apud Schol. Eur. Alc. 1164 Cob., ad Il. *β*, 711 uterque). *καὶ Ἀριστοτέλης δὲ ἐν τῇ κοινῇ Θετταλῶν πολιτείᾳ ἐπὶ Ἀλεύα τοῦ πυρροῦ* (cf. Buttmann, Mythologus II p. 251. Plut. de frat. am. 21) *διῃρῆσθαί φησιν εἰς δ̄ μοίρας τὴν Θετταλίαν. εἴη ἂν οὖν λέγων ὁ Δημοσθένης τὴν τετραρχίαν. ὅτι δὲ Φίλιππος καθ' ἑκάστην τούτων τῶν μοιρῶν ἄρχοντα κατέστησε δεδηλώκασιν ἄλλοι τε καὶ Θεόπομπος ἐν τῇ μδ̄.*

114. (451)

Schol. (cod. Vat.) ad Eurip. Rhes. v. 307 (p. 296 ed. Cobet. post I. Geelii Phoenissas 1846) *πολλὰ πελταστῶν τέλη*: *πέλτη ἀσπίς ἐστιν ἴτυν οὐκ ἔχουσα, καθάπερ φησὶν Ἀριστοτέλης ἐν Θεσσαλῶν πολιτείᾳ γράφων οὕτως «διελὼν δὲ τὴν πόλιν* (corr. *τὰς πόλεις*) *Ἀλεύας* (cod. *ἀλόας*) *ἔταξε καὶ* (corr. *κατὰ*) *τὸν κλῆρον παρέχειν ἑκάστους, ἱππέας μὲν τεσσαράκοντα, πελταστὰς* (cod. *ὁπλίτας*, quod corr. Cob.) *δὲ ὀγδοήκοντα. ἦν δὲ ἡ πέλτη ἀσπὶς ἴτυν οὐκ ἔχουσα ἐπίχαλκος αἰγὸς δέρματι περιτεταμένη* (corr. *οὐδ' ἐπίχαλκος οὐδὲ βοὸς ἀλλ' αἰγὸς ἢ οἰὸς* [ita bis Eust. *ὑὸς* lex.] *δέρματι περιτεταμένη*. quam definitionem e Didymi in Euripidem comm., de quo M. Schmidt Did. p. 274, lexicoque tragico atque Diogeniano oriundam cum ipso Arist. nomine repetunt Schol. in Plat. legg. VII p. 453 Bekk. eoque omisso Phot. et Lex. Seg. s. *πελτασταί* et ex Aelio Dionysio Eust. in Il. p. 905 cf. p. 911 Rom., breviusque primis tantum verbis servatis Hesych. s. *πέλτη*, Suid., Etym. M. p. 660, 25. cf. etiam Tim. lex. Plat. s. v. p. 211 Ruhnk., Schol. vulg. Eurip. Alc. 516)· *καὶ τριάκοντα* (add. *ὁπλίτας* quod quum antea pro *πελταστὰς* errore positum esset, iam hic omissum est), *οἳ* (cod. *ἢ*, corr. Cob.) *μακρὸν δόρυ πάντες ἐφόρουν ὃ σχέδιον ἐκαλεῖτο.*

Correcturas appositas commendat similis postea Iasonis ratio apud Xen. Hell. 6, 1, 19: *ἐπεί γε μὴν ἐτάγευσε* (cf. 6, 4, 28 *τῷ νόμῳ Θεττα-*

λῶν ταγός et 6, 1, 8), διέταξεν ἱππικόν τε ὅσον ἑκάστη πόλις δυνατὴ ἦν παρέχειν καὶ ὁπλιτικόν. καὶ ἐγένοντο αὐτῷ ἱππεῖς μὲν σὺν τοῖς συμμάχοις πλείους ἢ ὀκτακισχίλιοι, ὁπλῖται δὲ ἐλογίσθησαν οὐκ ἐλάττους δισμυρίων, πελταστικόν γε μὴν ἱκανὸν πρὸς πάντας ἀνθρώπους ἀντιταχθῆναι· ἔργον γὰρ ἐκείνων γε καὶ τὰς πόλεις ἀριθμῆσαι. προεῖπε δὲ καὶ τοῖς περιοίκοις πᾶσι τὸν φόρον ὥσπερ ἐπὶ Σκόπα τεταγμένος ἦν φέρειν. diversum autem de Aristotelis loco Prelleri (Philologus III p. 139) iudicium est, qui post equites et hoplitas peltastarum excidisse mentionem statuens hos ipsos gessisse vult τρί' ἀκόντια ἢ μακρὸν δόρυ.

115. (452)

Athen. XI p. 499: λάγυνον δὲ μέτρου λέγουσιν εἶναι ὄνομα παρὰ τοῖς Ἕλλησιν, ὡς χοὸς καὶ κοτύλης, χωρεῖν δ' αὐτὸ κοτύλας Ἀττικὰς δώδεκα. καὶ ἐν Πάτραις δέ φασι τοῦτ' εἶναι τὸ μέτρον τὴν λάγυνον. ἀρσενικῶς δὲ εἴρηκε τὸν λάγυνον Νικόστρατος ... Δίφιλος ... Ἀριστοτέλης δ' ἐν τῇ Θετταλῶν πολιτείᾳ θηλυκῶς λέγεσθαί φησιν ὑπὸ Θετταλῶν τὴν λάγυνον. καὶ Ῥιανὸς ... οὐδετέρως δὲ Δίφιλος ἐν ἀδελφοῖς εἴρηκεν ...

Ex eodem fonte Poll. 10, 72, Pamphilo scilicet (i. e. lexico comico Didymi), cui omnia illa debentur quae de variis ποτηρίων vel ἐκπωμάτων nominibus exhibet Athenaeus libro undecimo in lexici formam rationemque plane converso. cf. etiam Moeris p. 202, 19 Bekk.: λάγυνος ἀρρενικῶς Ἀττικοί, θηλυκῶς Ἕλληνες.

116. (453)

Ammonius de diff. voc. p. 147 Valck. (p. 140 Lips.) s. χλαμὺς καὶ χλαῖνα διαφέρει, καθὸ διὰ πολλῶν ἀπέδειξε Δίδυμος ἐν ὑπομνήματι δευτέρου Ἰλιάδος (β, 183)· ἡ μὲν χλαῖνα ἡρωικὸν φόρημα, χλαμὺς δὲ Μακεδονικόν, μετὰ ἑξακόσια ἔτη τῶν ἡρωικῶν ὀνομασθεῖσα Σαπφοῖ (ita Salmas. pro Σαπφώ)· πρώτη (ita Hemsterh. pro αὕτη) γὰρ μέμνηται τῆς χλαμύδος (cf. qui ex eodem Didymo sive potius Pamphilo hausit Pollux 10, 124: Ὅμηρος καὶ τὰ λεπτὰ — sc. ἱμάτια — χλαίνας καλεῖ. οἱ μέντοι Ἀττικοὶ τὸ λεπτὸν χλανίδα καὶ τὸ ἱππικὸν χλαμύδα, ὡς Θετταλῶν. πρώτην δέ φασι χλαμύδα ὀνομάσαι Σαπφὼ ἐπὶ τοῦ Ἔρωτος εἰποῦσαν etc. cf. Θετταλικὰς χλαμύδας Poll. 7, 46). διαφέρειν φησὶ (sc. Δίδυμος) καὶ τῷ σχήματι· ἡ μὲν γὰρ χλαῖνα τετράγωνον, φησίν, ἱμάτιον, ἡ δὲ χλαμὺς εἰς τέλειον (corr. εἰς κύκλον. cf. Ptolemaei Ascalon. et Cyrilli ex Ammonio glossas s. χλαῖνα, quas citat Valckenaer in nota ad h. l. ubi Ptol. ἡ δὲ χλαμὺς Μακεδόνων ἐστὶν εὕρημα καὶ ἔχει κυκλο-

τερῇ τὰ κάτω) περὶ τὰ κάτω συνῆκται. καὶ τοὺς (ὥστε τους Scal.) χρησαμένους πολὺ καὶ ἀπ' ἀλλήλων διεστάναι. προσάγεται Ἀριστοτέλην, Φύλαρχον, Πολέμωνα ὅτι πολὺ διαφέρουσιν.

E Didymi igitur commentario sumtum est scholium in A (p. 55 Vill.) et L (p. 95, 16 ed. Bachmann.) ad Il. β, 183 χλαῖναν: χλαῖνα ἡ τετράγωνος, χλαμὺς ἡ εἰς ὀξὺ λήγουσα (quae male vulgo interpunguntur).

(Θηβαίων.)

117. (454)

Schol. in Dionys. Thrac. gramm. (in Bekkeri An. Gr. t. II) p. 783, 1: τῶν στοιχείων εὑρετὴν ἄλλοι τε καὶ Ἔφορος ἐν δευτέρῳ Κάδμον φασί. τῆς δὲ (τινὲς δὲ τῆς corr. C. Müller ad fr. 256) Φοινίκων εὑρέσεως πρὸς ἡμᾶς διόςκορον (sic) γεγενῆσθαι, ὡς καὶ Ἡρόδοτος ἐν ταῖς ἱστορίαις (5, 58) καὶ Ἀριστοτέλης λέγει. φασὶ γὰρ ὅτι Φοίνικες μὲν εὗρον τὰ στοιχεῖα, Κάδμος δὲ ἤγαγεν αὐτὰ εἰς τὴν Ἑλλάδα. Πυθόδωρος δὲ etc. (multi alii deinde auctores antiqui citantur, e quibus Anticlides apud Plinium quoque reperitur. Aristotelem omittit qui eodem cum Plinio et scholiis loco utitur quemque exscribit Suidas s. γράμματα Clemens Al. str. I p. 132: Κάδμος δὲ Φοῖνιξ ἦν ὁ τῶν γραμμάτων Ἕλλησιν εὑρετής, ὥς φησιν Ἔφορος, ὅθεν καὶ Φοινικήια τὰ γράμματα Ἡρόδοτος κεκλῆσθαι γράφει. cf. Bekk. An. p. 782, 14). sequitur alius auctoris de eodem argumento scholium p. 786, 1, ubi ita: τῶν στοιχείων ὁ Κάδμος εὑρετής ἐστιν, ὥς φησιν Ἔφορος καὶ Ἀριστοτέλης· ἄλλοι δὲ λέγουσιν ὅτι Φοινίκων εἰσὶν εὑρήματα, Κάδμος δὲ ταῦτα διεπόρθμευσεν εἰς τὴν Ἑλλάδα. Πυθόδωρος δὲ etc. quae supplenda sunt e Plinio VII s. 57 (de quo cf. ad Chalced. pol.): *litteras semper arbitror Assyriis fuisse, sed alii apud Aegyptios a Mercurio, ut Gellius, alii apud Syros repertas volunt. utique in Graeciam intulisse e Phoenice Cadmum sedecim numero, quibus Troiano bello Palamedem adiecisse quatuor hac figura Θ Ξ Φ Χ, totidem post Simonidem melicum Ζ Η Ψ Ω* (de codicum scriptura v. ed. Sillig. t. II p. 61. cf. Nonnus schol. in Greg. Naz. p. 66 Mont. de numero quatuor Plut. qu. conv. IX, 3, 2), *quarum omnium vis in nostris recognoscitur. Aristoteles decem et octo priscas fuisse Α Β Γ Δ Ε Ζ Ι Κ Λ Μ Ν Ο Π Ρ Σ Τ Υ Φ et duas ab Epicharmo additas Θ Χ quam a Palamede mavolt* (cf. Bekk. Anecd. p. 782 et ex anon. gramm. p. 1169). *Anticlides in Aegypto invenisse* etc. (de omni hac materia Io. Franz. Elem epigr. Gr. p. 12. 14).

In Plinii autem disputatione quum coniuncti semper (et ter quidem) afferantur Aristoteles et Theophrastus, Aristotelis fragmentum latere fa-

cile credideris in hoc primo loco non minus, quo Theophrasti cui opponitur sententia celatur, quam in ceteris qui sequuntur: *lapicidinas Cadmus Thebis (invenit) aut, ut Theophrastus, in Phoenice; Thrason muros; turres, ut Aristoteles, Cyclopes, Tirynthii ut Theophrastus ... aes conflare et temperare Aristoteles Lydum Scythen monstrasse, Theophrastus Delan Phrygem putant... Gyges Lydus picturam Aegypti et in Graecia Euchir Daedali cognatus, ut Aristoteli placet, ut Theophrasto, Polygnotus Atheniensis* (v. fr. 2. 97. 162). iam vero ubi cum lithotomia illa Cadmi coniunctum apud Clem. Al. t. II p. 54, 7 Lips. legisti illud quod alio loco praebet Plinius: *auri metalla et flaturam Cadmus Phoenix ad Pangaeum montem*, suspicio nascitur uberius Aristotelem in Thebanorum republica de Cadmi meritis disputasse eique omnia deberi quae ut dispersa legebantur apud εὑρημάτων scriptores, ita nunc leguntur apud Plinium.

118. (455)

Zenob. prov. 6, 17 (eademque testimoniis abiectis in Plut. prov. 47) *τί οὐκ ἀπήγξω ἵνα Θήβησιν ἥρως γένῃ: ταύτης Πλάτων ἐν Μενέλεῳ μέμνηται. φασὶ δὲ ὅτι ἐν Θήβαις οἱ ἑαυτοὺς ἀναιροῦντες οὐδεμιᾶς τιμῆς μετεῖχον. καὶ Ἀριστοτέλης δέ φησι περὶ Θηβαίων τὸ αὐτὸ τοῦτο, ὅτι τοὺς αὐτόχειρας ἑαυτῶν γινομένους οὐκ ἐτίμων. τὸ οὖν «ἵνα ἥρως γένῃ» κατ' εὐφημισμὸν εἴρηται.*

Eadem ex eodem fonte habebant lexica. cf. Phot. (= Suid., cf. Apostol. prov. 16, 72. Greg. Cypr. 3, 80) p. 590, 22 *τί οὐκ ἀπήγξω ἵνα Θήβησιν ἥρως γένῃ: κέχρηται αὐτῇ Πλάτων ἐν Μενελάῳ, παρὰ δὲ τὴν ἱστορίαν· οἱ γὰρ ἐν Θήβαις ἑαυτοὺς διαχειρισάμενοι οὐδ' ἡστινοσοῦν τιμῆς ἠξιοῦντο.*

(Ἰασέων.)

119. (456)

Schol. (cod. Ven. B et Lips.) in Iliad. β, 126 *ἐς δεκάδας διακοσμηθεῖμεν: ἔθος πλείονας τῶν δέκα μὴ συνεσθίειν, ὡς καὶ Ἀριστοτέλης ἐν πολιτείαις φησίν. τὸ δὲ διακοσμηθεῖμεν ...*

Exile hoc uberioris disputationis fragmentum de more quem Ionicus poeta tangit Ionico *τοῦ κατὰ δεκάδας ἑστιᾶν*, ita scil. ut unicuique decadi suus esset *οἰνοχόος* (*εἴπερ ... ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί, Τρώων δ' ἄνδρα ἕκαστον ἑλοίμεθα οἰνοχοεύειν, πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο*), Iasensium in Caria civitatis opulentae (Thuc. 8, 28) more inter alia (cf. de syssitiis schol. in Plat. legg. p. 449 Bekk. *οἱ*

συσσιτοῦντες δέκα ἦσαν. diff. Plut. Lyc. 12) illustrasse commentarii excerpti auctorem ad numerum decem attentum, ex Heraclidis *περὶ πολιτειῶν* fragmento *Ἰασέων* inscripto intelligitur, quod ita habet (p. 28 Schn.): *τούτοις οὐκ ἐξῆν ἐν γάμοις πλείους ἑστιᾶν [τῶν] δέκα καὶ γυναικῶν ἴσων οὐδὲ γάμους ποιεῖν πλεῖον ἡμερῶν δύο.* quae ex eodem Aristotelis loco petita esse bene observavit C. Grashof (Jahn, Jahrb. f. Phil. u. Paed. t. X. 1829. p. 151). ceterum cf. schol. BV ad Il. *δ*, 259 (cf. 344. schol. BLV et Hornei. ad *ι*, 70) *ἐν δαίθ'* (*ὅτε πέρ τε γερούσιον αἴθοπα οἶνον Ἀργείων οἱ ἄριστοι ἐνὶ κρητῆρι κέρωνται* sc. ut suum cuique *δαιτρὸν* dividant): *τίμιον τοῦτο παρὰ τοῖς παλαιοῖς, ὡς ἔτι καὶ νῦν παρὰ Κυμαίοις.*

Ἰθακησίων μβ.

120. (457)

Etymol. Magn. p. 144, 22 s. *Ἀρκείσιος: ὁ ἥρως, ὁ πάππος Ὀδυσσέως. παρὰ τὸν ἀρκέσω μέλλοντα Ἀρκέσιος καὶ Ἀρκείσιος. οὕτως Ἡρωδιανός* (cf. Etym. Gud. p. 77, 57. Eust. Od. p. 1516). *Ἀριστοτέλης δὲ ἐν τῇ Ἰθακησίων πολιτείᾳ, τὸν Κέφαλον οἰκοῦντα ἐν ταῖς ἀπ' αὐτοῦ κληθείσαις Κεφαλληνίαις νήσοις* (*ἐν τῇ ἀπ' αὐτοῦ κληθείσῃ Κεφαλληνίᾳ νήσῳ* Eud.), *ἄπαιδα ἐπιπολὺ ὄντα, ἐρόμενον* (*ἐρωτήσαντα* Eud.) *τὸν θεὸν κελευσθῆναι ᾧ ἂν ἐπιτύχῃ* (*ἐντύχῃ* Eud.) *θήλει συγγενέσθαι· παραγενόμενον δὲ εἰς τὴν πατρίδα καὶ δὴ ἐντυχόντα* (*ἐντυγχάνοντα* Eud.) *ἄρκτῳ κατὰ χρησμὸν συγγενέσθαι, τὴν δὲ ἐγκύμονα γενομένην μεταβαλεῖν εἰς γυναῖκα καὶ τεκεῖν παῖδα Ἀρκείσιον, ἀπὸ ἄρκτου* (eadem ex eodem fonte tradit Eudocia p. 394 tangitque Eust. Od. p. 1756. 1961).

Cf. schol. Io. Tzetzae in Antehomerica sua p. 34 (ed. Schirach. Hal. 1770) *Κεφαλλῆνες: Κεφαλλῆνες λέγονται ἀπὸ Κεφάλου τοῦ Δηιονέως, τοῦ Ἀρκεισίου πατρός· κυριεύσας γὰρ τῆς χώρης οὕτως αὐτὴν ὠνόμασε. τούτῳ τῷ Κεφάλῳ ἄπαιδι ὄντι ἐδόθη χρησμὸς παιδοποιῆσαι μιγέντα τῷ ἐντυχόντι θήλει· ὃς ἄρκτῳ μιγεὶς τὸν Ἀρκείσιον ἔτεκεν, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων πολιτείᾳ.*

Ex eodem Aristotele eadem manifesto accepit Heraclides, cuius haec de Ithacensibus leguntur (p. 27): *Κεφάλῳ μαντευσαμένῳ περὶ παίδων ὁ θεὸς εἶπεν, ᾧ ἂν ἐντύχῃ* (scil. *θήλει*) *πρῶτον συγγενέσθαι· τὸν δὲ περιτυχεῖν ἄρκῳ καὶ πλησιάσαντα γεννῆσαι * γυναῖκα* (ita codd. de lacuna cf. C. Müller ad h. l. in Fr. hist. II p. 223. Eudoc. p. 260), *ἐξ ἧς τὸν Ἀρκείσιον φερωνύμως ὀνομασθῆναι.*

121. (458)

Eustath. in Odyss. *π*, 118 p. 1796 Rom.: *ἰστέον δὲ ὅτι γενεαλογοῦσι Διὸς μὲν καὶ Εὐρυοδείας Ἀρκείσιον, αὐτοῦ δὲ καὶ Χαλκομεδούσης Λαέρτην, τοῦ δὲ καὶ Ἀντικλείας Ὀδυσσέα, οὗ καὶ Πηνελόπης Τηλέμαχον, αὐτοῦ δὲ καὶ Πολυκάστης τῆς Νέστορος Περσέπτολιν, ὡς Ἡσίοδος· Τηλεμάχῳ δ' ἄρ' ἔτικτεν ἐΰζωνος Πολυκάστη, Νέστορος ὁπλοτάτη κούρη Νηληϊάδαο, Περσέπολιν, μιχθεῖσα διὰ χρυσέην Ἀφροδίτην. Ἀριστοτέλης δὲ ἐν Ἰθακησίων πολιτείᾳ καὶ Ἑλλάνικος δὲ Τηλέμαχόν φασι Ναυσικάαν γῆμαι τὴν Ἀλκινόου καὶ γεννῆσαι τὸν Περσέπτολιν. τινὲς δὲ* etc. (sequuntur alii auctores multi de Ulixis et Telemachi filiis quales citare solet Didymus: Telegoniae poeta, Lysimachus, Sophocles, *ὁ τοὺς νόστους ποιήσας*.)

Eadem prorsus et ex eodem fonte cum Eustathio communi, quali saepe utuntur, habet Eudocia p. 77 (ubi simpliciter sine libro citatur ita *Ἀριστοτέλης δὲ καὶ Ἑλλάνικος Τηλέμαχόν φασι* etc.) cf. p. 394. aliam genealogiam Aristotelicae (e quo Cephali est Arcesius, cuius Laertes) similiorem habes in Schol. Ven. A ad Il. *β*, 631 (cf. LV ad *β*, 173), ubi de Cephallenia a Cephalo appellata (= Strabo X p. 456. Paus. 1, 37) *Δηιόνος* filio, e quo *Κιλλεύς*, *οὗ Ἀρκείσιος*, *οὗ Λαέρτης* (eadem e schol. Hom. Eust. p. 307).

122. (459)

Plutarch. quaest. Graec. 14: *τίνες οἱ παρ' Ἰθακησίοις Κολιάδαι καὶ τίς ὁ φάγιλος; τῷ Ὀδυσσεῖ μετὰ τὴν μνηστηροφονίαν οἱ ἐπιτήδειοι τῶν τεθνηκότων ἐπανέστησαν, μεταπεμφθεὶς δ' ὑπ' ἀμφοτέρων διαιτητὴς Νεοπτόλεμος ἐδικαίωσε τὸν μὲν Ὀδυσσέα μεταναστῆναι καὶ φεύγειν ἐκ τῆς Κεφαλληνίας καὶ Ζακύνθου καὶ Ἰθάκης ἐφ' αἵματι, τοὺς δὲ τῶν μνηστήρων ἑταίρους καὶ οἰκείους ἀποφέρειν ποινὴν Ὀδυσσεῖ τῶν εἰς τὸν οἶκον ἀδικημάτων καθ' ἕκαστον ἐνιαυτόν. αὐτὸς μὲν οὖν εἰς Ἰταλίαν μετέστη, τὴν δὲ ποινὴν τῷ υἱῷ καθιερώσας ἀποφέρειν ἐκέλευσε τοὺς Ἰθακησίους· ἦν δ' ἄλφιτα, οἶνος, κηρία, ἔλαιον, ἅλες, ἱερεῖα πρεσβύτερα φαγίλων. φάγιλον δέ φησιν Ἀριστοτέλης τὸν ἀμνὸν εἶναι* (cf. Hesych. s. *φάγιλος*: *ἀμνός*). *τοὺς δὲ περὶ Εὔμαιον ἐλευθερώσας ὁ Τηλέμαχος κατέμιξεν εἰς τοὺς πολίτας καὶ τὸ γένος ἐστὶ Κολιαδῶν ἀπ' Εὐμαίου καὶ Βουκολιδῶν* (vulgo *Βουκολιῶν*. cf. Eust. ad Il. o, 338 p. 1018) *ἀπὸ Φιλοιτίου*.

123. (460)

Tzetzes ad Lycophr. 799 (ed. C. G. Müller p. 790) *μάντιν δὲ νεκρὸν* (*Εὐρυτὰν στέψει λεώς*): *Ἀριστοτέλης φησὶν ἐν Ἰθακη-*

σίων πολιτείᾳ Εὐρυτᾶνας ἔθνος εἶναι τῆς Αἰτωλίας (cf. Thuc. 3, 94. Steph. s. v.) *ὀνομασθὲν ἀπὸ Εὐρύτου* (cf. Od. φ, 32), *παρ' οἷς εἶναι μαντεῖον Ὀδυσσέως. τὸ δ' αὐτὸ καὶ Νίκανδρος ἐν Αἰτωλικοῖς.*

124. (461)

Phot. lex. p. 525, 21 (= Suid.) s. *σκυτάλη: ἐπιστολὴ Λακωνική* (cf. Hes. s. v. Etym. M. p. 720, 45. 49. Etym. Gud. p. 505, 39). *ἦν δὲ ἡ σκυτάλη ξύλον ἐξεσμένον ἐπίμηκες. δύο δὲ παρὰ Λακεδαιμονίοις ὑπῆρχον σκυτάλαι, καὶ τὴν μὲν μίαν κατεῖχον οἱ ἔφοροι τῶν Λακεδαιμονίων, τὴν δὲ ἑτέραν τῷ ἐκπεμπομένῳ παρ' αὐτῶν στρατηγῷ παρεῖχον. καὶ ὁπότε ἐβούλοντό τι ἐπιστεῖλαι αὐτῷ, φέροντες ἱμάντα λευκὸν περιείλουν τὴν σκυτάλην καὶ ἐπὶ τοῦ ἱμάντος ἔγραφον, καὶ ἀνελίττοντες παρεῖχον τὸν ἱμάντα τῷ ἀποφέροντι. τοῦτο δὲ ἐποίουν ἵνα μὴ μανθάνωσιν οἱ ἀποφέροντες τὸ δηλούμενον ἐν αὐτῷ. ὁ δὲ στρατηγὸς δεχόμενος τὸν ἱμάντα τῇ ἑαυτοῦ σκυτάλῃ περιείλιττε καὶ ἀνεγίνωσκεν οὕτω τὰ γεγραμμένα. λέγεται οὖν καὶ ἡ ἐπιστολὴ σκυτάλη καὶ αὐτὸ τὸ ξύλον ἀφ' οὗ καὶ ἡ ἐπιστολή* (eadem accuratius ex eodem fonte — Aristotele in pol. Lacon.? — habes apud Gell. 17, 9 pluribusque modis parum diversis narrata in Schol. Pindar. Olymp. 6, 154 p. 152 Boeckh, cf. Schol. in Aristoph. av. 1283 in quibus Symmachus et Didymus citantur, item in Lysistr. 991. Schol. Thucyd. 1, 131). *Διοσκουρίδης δὲ ἐν τοῖς περὶ νομίμων τοὺς δανείζοντας ἐν Σπάρτῃ διαιρεῖν σκυτάλην δύο παρόντων μαρτύρων καὶ γράφειν τὸ συμβόλαιον ἐν ἑκατέρῳ τμήματι, καὶ τὸ μὲν ἑνὶ τῶν μαρτύρων διδόναι, τὸ δὲ δι' ἑαυτοῦ ἔχειν. ἐχρῶντο δ' αὐτῷ* (corr. *αὐτῇ*) *καὶ ἀλλοίως* (ita Suid., falso *καὶ ἄλλοι* Phot.), *ὡς Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων πολιτείᾳ μβ* (ita Phot. et Suid.).

Alius iste modus fortasse is est quem addunt Schol. Pind. l. c.: *ἄλλοι δὲ ὅτι ἐχρῶντο πλατείαις σκυτάλαις οἱ Λάκωνες ἐγγράφοντες αὐτῶν τὰς ἐπιστολὰς καὶ ἐγκλείοντες εἰς σκύτινα ἀγγεῖα καὶ οὕτω σφραγίζοντες.*

Ἱμεραίων.

125. (462)

Pollux IV, 174: *ἐν δ' Ἱμεραίων πολιτείᾳ φησὶν* (*Ἀριστοτέλης*) *ὡς οἱ Σικελιῶται τοὺς μὲν δύο χαλκοῦς ἑξᾶντα καλοῦσι, τὸν δὲ ἕνα οὐγκίαν, τοὺς δὲ τρεῖς τριᾶντα, τοὺς δὲ ἓξ ἡμίλιτρον, τὸν δὲ ὀβολὸν λίτραν, τὸν δὲ Κορίνθιον στατῆρα δεκάλιτρον ὅτι δέκα ὀβολοὺς δύναται.*

Eadem repetit Poll. IX, 80. cf. supra ad Agrigent. pol.

Κ ε ί ω ν.

E *Κείων* (scribitur *Κίων*) republica apud Sopatrum excerpta legebantur secundum Photium (bibl. cod. 161).

126. (463)

Schol. in Theocrit. id. V, 53 (p. 194 Ahrens) *σ τ α σ ῶ* (*δὲ κρατῆρα μέγαν λευκοῖο γάλακτος ταῖς νύμφαις, στασῶ δὲ καὶ ἀδέος ἄλλον ἐλαίω*): *παρόσον* (*πάρισον* corr. Ahrens) *ἔλαιον ἐκτίθησι ταῖς νύμφαις· αὗται γὰρ ἐκθρέψασαι τὸν Ἀρισταῖον* (de var. lect. cf. Dübner in adnot. p. 137) *ἐδίδαξαν τὴν τοῦ ἐλαίου ἐργασίαν καὶ μέλιτος, ὥς φησιν Ἀ ρ ι σ τ ο τ έ λ η ς.*

Pleniora narrationis Aristotelicae vestigia inveniuntur in Heraclid. polit. exc. (s. v. *Κείων*) p. 13, 16 Schn.: *Ἀρισταῖον δέ φασι μαθεῖν παρὰ μὲν νυμφῶν τὴν προβάτων καὶ βοῶν ἐπιστήμην, παρὰ δὲ Βρισῶν τὴν μελιττουργίαν· φθορᾶς δὲ οὔσης φυτῶν καὶ ζώων διὰ τὸ λείπειν ἐτησίας* * (ubi quae deficiunt suppeditat Valerii Probi q. f. comm. ad Virg. georg. 1, 14 p. 28, 20 Keil. e Varronis Atacini Argonautis. tangit etiam Theophrastus in l. de ventis 14: *εἰ δέ ποτ' ἐξέλιπον καὶ Ἀρισταῖος αὐτοὺς ἀνεκαλέσατο θύσας τὰς ἐν Κέῳ θυσίας τῷ Διί, καθάπερ μυθολογοῦσιν*... cf. L. Preller, Griech. Myth. I p. 307). Schol. in Apoll. Rh. 2, 498 (p. 417, 10 Keil): *Ἀρισταῖος δὲ ἐν τῇ Κέῳ εὑρὼν τὰ μελισσουργικὰ πρῶτος καὶ τὴν τοῦ ἐλαίου κατεργασίαν, καὶ κατακαλεσάμενος τοὺς ἐτησίας Ζεὺς Ἀρισταῖος ἐκλήθη καὶ Ἀπόλλων Ἀγρεὺς καὶ Νόμιος.* cf. Schol. Pind. Pyth. 9, 113. de mellis et olei studio Aristaei cf. etiam Serv. in Virg. georg. 1, 14 et Plin. 7, 57: *oleum et trapetas Aristaeus Atheniensis, idem mella* (*invenit*). de etesiis (praeter Apollonium et Probum) et Iovis Icmaei templo cf. Clem. Alex. str. p. 267 Sylb. in lexicis antiquis eadem legebantur s. v. *βρίσαι*, cf. Hes. *βρίσσαι ... καὶ νύμφαι.* Etym. M. p. 213, 55 *βρίσαι: νύμφαι οὕτω καλούμεναι ἢ ὅτι βλίσαι, καὶ γὰρ μελισσουργίαν αὗται τὸν Ἀρισταῖον ἐδίδαξαν, τροπῇ τοῦ λ εἰς ρ· ἢ παρὰ τὸ βρύειν, ὅ ἐστιν ἀνθεῖν τὴν ἐλαίαν, ἧς τὴν ἐργασίαν καὶ αὐτὴν ὑπέδειξεν Ἀρισταῖος τὴν διὰ τῆς ἀμβροσίας· ἢ ἀπὸ τοῦ βρίξαι καὶ κατακοιμίσαι αὐτὸν καὶ καταβαυκαλίσαι, ὅτι ἐτιθήνουν αὐτόν.*

Κ ε ρ κ υ ρ α ί ω ν.

127. (464)

Schol. Laurent. in Apollon. Rhod. IV, 983 (p. 512, 20 Keil) *ᾗ ὕπο δὴ κ ε ῖ σ θ α ι δ ρ έ π α ν ο ν: ἡ νῆσος ἡ Κέρκυρα. αὕτη πρότερον Σχερία ἐκαλεῖτο. ἀποδίδωσι δὲ τὴν αἰτίαν Ἀ ρ ι σ τ ο τ έ λ η ς ἐν τῇ Κερκυ-*

ραίων πολιτείᾳ. φησὶ γὰρ τὴν Δήμητρα φοβουμένην μὴ οἱ ἐκ τῆς ἠπείρου ἐρχόμενοι (ἐπιχεόμενοι Steph. Byz.) ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι Ποσειδῶνος ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα· ἐπισχεθέντων οὖν τούτων, ἀντὶ Δρεπάνης Σχερίαν ὀνομασθῆναι (αὐτὴν κληθῆναι Steph.). (Δρεπάνη δὲ ἐκαλεῖτο add. schol. Flor., om. Laur.) διὸ τὴν Δήμητρα αἰτησαμένην δρεπάνην παρ' Ἡφαίστου τοὺς Τιτᾶνας διδάξαι θερίζειν, εἶτα αὐτὴν κρύψαι εἰς τὸ παραθαλάσσιον μέρος τῆς νήσου. προσκλυζούσης δὲ τῆς θαλάσσης ἐξομοιωθῆναι τὴν θέσιν τῆς γῆς δρεπάνῃ (Callimachi haec esse videntur propter Plinium 4, 19, 52 *Homero dicta Scheria et Phaeacia, Callimacho etiam Drepane*). Τίμαιος δέ (cf. schol. Flor. hic paulo accuratiora) φησιν, ᾧ ἐξέτεμεν τοῦ Οὐρανοῦ ἢ τοῦ Κρόνου τὰ αἰδοῖα ὁ Ζεύς, τοῦτο κεκρύφθαι.

Haec, quae eadem fere leguntur in schol. ed. princ. Florent., e veteribus Apollonii commentatoribus (Theone, Sophocle) exscripta sunt, quibus utitur Stephanus Byz. qui quidem prima tantum Aristotelis verba repetit s. Σχερία: ἡ Φαιακία. κέκληται, ὡς Ἀριστοτέλης φησίν, ἀπὸ τοῦ τὴν Δήμητρα φοβουμένην etc. in recentiore autem illa scholiorum pridem collectorum recensione, quae dedita Byzantini cuiusdam opera rotundior evasit et fere continua (haec codice Parisino continetur eademque ipsa habetur in cod. Vindobon. chart. sec. XV, quem inspexi, phil. Gr. 81) auctorum testimonia ad temporis ordinem ita transponuntur ut ex ignoto illo auctore et e Timaeo de Drepane dicatur primum, deinde de Scheria ex Aristotele. Eustathius in Od. p. 1521 sua habet e Stephano.

128. (465)

Schol. in Aristoph. av. 1463 Κορκυραῖα: λέγεταί τις Κορκυραία μάστιξ. συνεχῶς δὲ παρὰ Κορκυραίοις ἀταξίαι γίνονται· διὰ τὸ στασιάζειν οὖν ἐπεπόλασε παρ' αὐτοῖς ἡ μάστιξ, ὥστε διπλαῖς χρῆσθαι μεγάλαις καὶ ἐλεφαντοκώποις. ἄλλως. λέγεταί τις Κορκυραία μάστιξ. Φρύνιχος Σατύροις« Κορκυραῖοι δ' οὐδὲν ἐπιβάλλουσι μάστιγες». ὥςτε καὶ εἰς παροιμίαν ἤδη ἐλθεῖν. Ἀριστοτέλης (Ἀριστοφάνης codd. id quod male defendit Nauck Aristoph. p. 239) δὲ τὸ Κορκυραία μάστιξ λέγων φησὶν οὕτως· «διὸ καὶ τὰς κώπας αὐτῶν ἐλεφαντίνας ἐποιήσαντο καὶ τῷ μεγέθει περιττάς· ὅθεν ἡ Κορκυραία ἐπεπόλασε μάστιξ καὶ εἰς παροιμίαν ἦλθε». ταῦτα δὲ λέγων τύπτει αὐτόν.

Didymea haec eisdem uterque verbis tradunt Zenobius (prov. 4, 49) et Hesychius s. Κερκυραία μάστιξ: περιττήν τινα κατασκευὴν εἶχον αἱ Κερκυραῖαι μάστιγες (διὸ καὶ εἰς παροιμίαν παρῆλθον add. Zen.).

οἱ δὲ καὶ διπλᾶς αὐτὰς ἔφασαν εἶναι, εἶχον δὲ ἐλεφαντίνας κώπας καὶ τῷ μεγέθει περιτταὶ ἦσαν. ὑπερηφάνους γὰρ εὐπραγοῦντας τοὺς Κερκυραίους φησὶν Ἀριστοτέλης γενέσθαι (δοκεῖ δὲ αὕτη χαλεπωτάτη εἶναι κατὰ τῶν παιδευομένων add. cod. Bodleianus). memoratur proverbium etiam in Diogeniani prov. 5, 50 (= Apost. 9, 69).

Κιανῶν.

129. (466)

Schol. in Apollon. Rh. I, 1177 p. 375, 15 Keil (e quibus eadem, Ar. tamen nomine om., Etymol. M. p. 512, 37) *Κιανίδος: περιφραστικῶς τὴν Κίον· ἔστι δὲ πόλις Μυσίας ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῆς Μιλησίων ἀποικίας* (cf. Schol. ad I, 1346), *ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Κιανῶν πολιτείᾳ. κατῴκησαν δὲ αὐτὴν πρῶτον Μυσοί, ἔπειτα Κᾶρες, τρίτον Μιλήσιοι.*

Κολοφωνίων.

130. (467)

Athenaeus XIV p. 618[e] (e Pamphilo, ut videtur): *ἦν δὲ καὶ ἐπὶ ταῖς αἰώραις τις ἐπ' Ἠριγόνῃ* (de cuius festo Atheniensi v. Hermann, Gottesdienstl. Alterth. §. 62, 29) *ἣν καὶ ἀλῆτιν λέγουσιν ᾠδήν. Ἀριστοτέλης γοῦν ἐν τῇ Κολοφωνίων πολιτείᾳ φησίν· «ἀπέθανε δὲ καὶ αὐτὸς ὁ Θεόδωρος ὕστερον βιαίῳ θανάτῳ· λέγεται δὲ γενέσθαι τρυφῶν τις, ὡς ἐκ τῆς ποιήσεως δῆλόν ἐστιν· ἔτι γὰρ καὶ νῦν αἱ γυναῖκες ᾄδουσιν αὐτοῦ μέλη περὶ τὰς αἰώρας».*

Ex eodem fonte atque in eodem argumento circa *ᾠδῆς ὀνομασίας* versante Pollux 4, 55: *ἦν δέ τι καὶ ἀλῆτις ᾆσμα ταῖς αἰώραις προσᾳδόμενον, Θεοδώρου ποίημα τοῦ Κολοφωνίου.*

(*Κορινθίων.*)

131. (468)

Diogenes Laertius 1, 98: *οὗτος* (sc. *ὁ Περίανδρος*) *πρῶτος δορυφόρους ἔσχε καὶ τὴν ἀρχὴν εἰς τυραννίδα μετέστησε. καὶ οὐκ εἴα ἐν ἄστει ζῆν τοὺς βουλομένους, καθά φησιν Ἔφορος καὶ Ἀριστοτέλης.*

Hoc fragmentum, quod e Favorino (cf. V. Rose, de Aristot. libr. p. 41) fortasse transtulit Laertius, eiusdem manifesto auctoris est quem in politiis exscripserat Heraclides (cf. infra ad Samior. pol.). neque enim casu factum est quod ea quae ex ampliore quadam rerum copia in breve aliquod argumentum contracta esse verborum omnis tenor docet, eodem

modo contracta apud utrumque legantur. etenim inter excerpta ex Heraclide Byzantina servantur haec (p. 11, 8 Schn.): *Περίανδρος δὲ πρῶτος μετέστησε τὴν ἀρχὴν δορυφόρους ἔχων καὶ οὐκ ἐπιτρέπων ἐν ἄστει ζῆν, ἔτι δὲ δούλων κτήσεις καὶ τρυφὴν ὅλως περιαιρῶν* etc. testes igitur ab horum verborum primo auctore iunctim citatos omisit aut ipse Heraclides aut eius epitomator Ephorum et Aristotelem. cf. etiam Nicol. Dam. fr. 59 Müll.

132. (469)

Diogenes Laertius 1, 99: *Σωτίων δὲ καὶ Ἡρακλείδης* (i. e. Ἡρ. *ἐν τῇ ἐπιτομῇ τῶν τοῦ Σωτίωνος*) *καὶ Παμφίλη ἐν τῷ πέμπτῳ τῶν ὑπομνημάτων* (i. e. ex Heraclide Sarapionis filio Pamphila, cui haec omnia, quae Pamphilae Laertius, debere ipsa videtur. ceterum de Pamphila v. Müller in Fr. hist. Gr. III, 520 et ibidem p. 169 de Heraclide) *δύο φασὶ Περιάνδρους γεγονέναι τὸν μὲν τύραννον, τὸν δὲ σοφὸν καὶ Ἀμβρακιώτην. τοῦτο καὶ Νεάνθης φησὶν ὁ Κυζικηνὸς ἀνεψιούς τε εἶναι ἀλλήλοις. καὶ Ἀριστοτέλης μὲν τὸν Κορίνθιόν φησιν εἶναι τὸν σοφόν, Πλάτων δὲ* (cf. D. L. 1, 41. 108) *οὔ φησι.*

Cf. Nicol. Dam. fr. 59 (*φασὶ δέ τινες αὐτὸν καὶ τῶν ἑπτὰ σοφῶν γεγονέναι· τὸ δὲ οὐκ ἦν*) et Clem. Al. str. I, 14, 59 p. 129. Suid. s. v.

(*Κρητῶν.*)

133. (470)

Schol. in Theocrit. XIII, 9 (p. 80b43 ed. Bussemaker. Par. 1849. p. 355 ed. Ahrens. Lips. 1859) *ὅσσα μαθὼν ἀγαθὸς* (*καὶ ἀοίδιμος αὐτὸς ἔγεντο* sc. Heracles): *Ἀριστοτέλης φησὶν ὑπὸ Ῥαδαμάνθυος παιδευθῆναι τὸν Ἡρακλέα. Ἡρόδωρος* (ita Hemsterhusius. codd. *Ἡρόδοτος*) *δὲ ὑπὸ τῶν βουκόλων Ἀμφιτρύωνος* (utrumque quodammodo coniungit Apollodor. bibl. II, 4, 9, 2—3), *τινὲς δὲ ὑπὸ Χείρωνος καὶ* (corr. *τοῦ*?) *Θεστιάδου* (*Θεστιάδους* codd.).

Sermonem fuisse Aristotelis non tam de Heracle quam de Rhadamantho antiquissimo Cretensium legislatore, qui ut ait Ephorus (apud Strab. X p. 476) *πρῶτος τὴν νῆσον ἐξημερῶσαι δοκεῖ νομίμοις καὶ συνοικισμοῖς πόλεων καὶ πολιτείαις*, fidem facit Apollodorus bibl. II, 4, 9, 2 qui lege quadam Rhadamanthi Herculem in causa capitali usum fuisse perhibet.

134. (471)

Schol. (e Didymi comm.) in Pind. Pyth. 2, 127 (p. 322 Boeckh) *τὸ Καστόρειον* etc. ... *διέλκεται δὲ ἡ τῆς πυρρίχης ὄρχησις, πρὸς ἣν*

τὰ ὑπορχήματα ἐγράφησαν. ἔνιοι μὲν οὖν φασὶ πρῶτον Κουρῆτας τὴν ἔνοπλον ὀρχήσασθαι ὄρχησιν, αὖθις δὲ Πύρριχον Κρῆτα συντάξασθαι, Θάλητα δὲ πρῶτον τὰ εἰς αὐτὴν ὑπορχήματα (eadem ex eodem fonte quo Didymus, Ephoro scil., habet Strabo X p. 480 ubi Cretenses legislator iubet *ἀσκεῖν καὶ τοξικῇ καὶ ἐνοπλίῳ ὀρχήσει, ἣν καταδεῖξαι Κουρῆτας πρῶτον, ὕστερον δὲ Πύρριχον συντάξασθαι τὴν κληθεῖσαν ἀπ' αὐτοῦ πυρρίχην ... ὡς δ' αὔτως καὶ τοῖς ῥυθμοῖς Κρητικοῖς χρῆσθαι κατὰ τὰς ᾠδὰς συντονωτάτοις οὖσιν, οὓς Θάλητα ἀνευρεῖν* etc. quae iam Eustathii in Il. p. 771 tempore corrupta e scholiis ita corrigenda esse patet, cf. etiam Kramer ed. t. II p. 407. ex eodem Ephoro fluxerunt Plinii verba n. h. 7, 57. ipsum Pyrrhichum unum *τῶν καλουμένων Κουρήτων* vocat Paus. 3, 25, principem Nonnus in Dionys. 14, 33. cf. 28, 293)· *Σωσίβιος δὲ τὰ ὑπορχηματικὰ μέλη πάντα Κρητικὰ λέγεσθαι· ἔνιοι δὲ οὐκ ἀπὸ Πυρρίχου τοῦ Κρητὸς τὴν πυρρίχην ὠνομάσθαι, ἀλλ' ἀπὸ Πύρρου τοῦ Ἀχιλλέως παιδὸς ἐν τοῖς ὅπλοις ὀρχησαμένου ἐν τῇ κατὰ Εὐρυπύλου τοῦ Τηλέφου νίκῃ.* *Ἀ ρ ι σ τ ο τ έ λ η ς δὲ πρῶτον Ἀχιλλέα ἐπὶ τῇ τοῦ Πατρόκλου πυρᾷ τῇ πυρρίχῃ φησὶ κεχρῆσθαι, ἣν παρὰ Κυπρίοις* (immo *Κρησί*, cf. Eustath. ad Il. *μ*, 77 p. 893: *πρυλέες δὲ οἱ ἐν μάχῃ πεζοὶ κατὰ γλῶσσαν Γορτυνίων, ὥς φασιν οἱ παλαιοί.* ibid. schol. Victor. *πρυλέες: οὕτως Γορτύνιοι*) *φησὶ πρύλιν* (qua voce unus utitur Callimachus h. in Iov. 52, in Dian. 240. cf. Hoeck, Kreta I p. 2. 13) *λέγεσθαι, ὥστε παρὰ τὴν πυρὰν τῆς πυρρίχης τὸ ὄνομα θέσθαι.* cf. schol. Victor. (p. 608, 11 Bekk.) ad Il. *ψ*, 130 *χ α λ κ ὸ ν ζ ώ ν ν υ σ θ α ι: Ἀ ρ ι σ τ ο τ έ λ η ς φησὶ τοὺς πρυλεῖς Ἀχιλλέως. τοὺς δὲ Ἀχαιοὺς τὸν νόμον εἰς Κρήτην κομίσαι· τῶν γὰρ βασιλέων κηδευομένων αὐτὸς προηγεῖται πυρριχίζων ὁ στρατός.*

Haec ex parte etiam exstant in Hesychii glossa, cuius eadem est origo Didymea, *π υ ρ ρ ι χ ί ζ ε ι ν: τὴν ἐνόπλιον ὄρχησιν καὶ σύντονον πυρρίχην ἔλεγον, οἱ μὲν ἀπὸ Πυρρίχου τοῦ Κρητός* (ita etiam Poll. 4, 99. de Pyrrhicho Lacone Aristox. ap. Athen. XIV p. 630), *οἱ δὲ ἀπὸ τοῦ διάπυρον εἶναι, οἱ δὲ ἀπὸ Πύρρου τοῦ Ἀχιλλέως* (in quo consentit, qui aliam tamen causam narrat, Eust. Od. p. 1697. cf. etiam Photii bibl. p. 320^{b}36 Bekk. e Procli chrest.)· *ἐφησθέντα γὰρ τῷ Εὐρυπύλου φόνῳ ὀρχήσασθαί φησιν Ἀρχίλοχος, ὅθεν καὶ ὁ πυρρίχιος ποὺς ὠνομάσθη.* cf. Etym. M. p. 699, 1 = Et. Gud. p. 488, 38 *ἀπὸ Πύρρου ἢ Πυρρίχου*, aliosque etiam inventores in schol. BLV ad Il. *π*, 617 (unde Eustath. Il. p. 1078): *Κρῆτες γὰρ ἀσκοῦσι τὴν ἐνόπλιον ὄρχησιν ἔμπειροι ὄντες ἀπὸ τῆς τῶν Κουρήτων μυθολογίας· καὶ οἱ μὲν αὐτοῖς, οἱ δὲ Νεοπτολέμῳ, οἱ δὲ Μολοσσοῖς, οἱ δὲ Κάστορι* (cf. schol. Pind. I. c. init.), *οἱ δὲ*

Διονυσίῳ τὴν εὕρεσιν διδοῦσιν (cf. etiam ad h. l. scholium ABD = Et. M. p. 634, 56, cuius tria illa *εἴδη τῆς λυρικῆς ὀρχήσεως* redeunt in uberiore Athenaei disputatione XIV p. 630 sq.).

Eisdem denique copiis, quibus scholiorum Pindaricorum collector atque Hesychius, usus est qui crebra Graecae doctrinae vestigia gerit Marius Plotius (vel M. Claudius) Sacerdos, grammaticus Romanus (sec. V), cuius in artium grammaticarum libro tertio qui est de metris haec verba sunt (apud Putsch. p. 2624): *Pyrrhichius pes e duabus brevibus constat temporum duum, ut herus. qui a pyrrica lusus genere nomen accepit, quia hoc sono milites usi ab armis per ludum, ut ille ait, ciebant simulacra pugnarum. ipsa tamen pyrrica dicta est a Pyrrho Cydonio* (cf. Nicol. Dam. fr. 115 Müll., ubi de Cretensibus: *τὴν ἐνόπλιον πυρρίχην ἐκπονοῦντες, ἥντινα πρῶτος εὗρε Πύρριχος Κυδωνιάτης Κρὴς τὸ γένος*), *qui primus Cretenses sub armis saltare ad huius pedis sonum instituit. alii a Pyrrho Achillis filio, quem dicunt primum in tumulo patris sui armatum honoris gratia saltavisse. Aristoteles autem Achillen ait huius lusus inventorem fuisse. quibusdam placet ab ardore id est a velocitate sui soni nomen accepisse hunc pedem, ἀπὸ τοῦ πυρὸς id est a flamma et per hoc a velocitate. cognatus enim sensus ardoris et velocitatis est* etc. (cf. supra Hesych. et Diomed. lib. III p. 471 Putsch.)

(*Κροτωνιατῶν*.)

135. (472)

Schol. in Theocrit. 4, 6 (p. 156, 1 Ahrens) *Μίλων: τὸν Κροτωνιάτην Μίλωνά φησιν, ὃν καὶ Ἀριστοτέλης πολυφάγον φησί· λέγουσι δὲ αὐτὸν εἶναι καὶ ἀνδρεῖον· κατεβρώθη δὲ οὗτος ὑπὸ θηρίων ἢ κυνῶν· ἐλθὼν γὰρ εἰς ὄρος καὶ εὑρών τινας δένδρον σχίζοντας, σφῆνα δὲ βαλόντας ἐν μέσῳ τοῦ ξύλου θέλων αὐτὸς ἐκβαλεῖν τὸν σφῆνα ἐκρατήθη ἐκεῖ, καὶ οὕτως ἐτελεύτησε.*

Eadem e scholiis repetit Eudocia viol. p. 291: *Μίλων ὁ Κροτωνιάτης ἐπιφανέστατος καὶ ῥωμαλεώτατος ἀθλητὴς ἦν, ὃς καὶ βοῦν ἄρας ἐν μέσῳ θεάτρῳ ποτέ, ὕστερον τὸν αὐτὸν ἐθοινήσατο, κατὰ τὸν βουθοίναν Ἡρακλέα τοῦτό γε ἀνδρισάμενος* (testimonia auctorum v. ap. Athen. X p. 412). *μέμνηται αὐτοῦ Θεόκριτος καὶ Ἀριστοτέλης, ὃν καὶ πολυφάγον φησὶ καὶ ἀνδρεῖον. ἀλλὰ τὰ μὲν τῆς ζωῆς εὐκλεῆ τοῦ ἀνδρός, τὰ δὲ περὶ θάνατον οἴκτιστα· ἐλθὼν γὰρ εἰς ὄρος καὶ εὑρών τινας δένδρον σχίζοντας, σφῆνα δὲ βαλόντας ἐν μέσῳ τοῦ ξύλου, θέλων αὐτὸς ἐκβαλεῖν τὸν σφῆνα, ἐν τῷ τῆς οἰκείας ῥώμης πειρᾶσθαι*

ἀπεσφηνώθη τῷ δένδρῳ τὰς χεῖρας καὶ οὕτω σφιγκτῷ θανάτῳ τὸν βίον μετήλλαξεν (eodem modo de morte Milonis narrat Paus. 6, 14).

(*Κ υ θ η ρ ί ω ν.*)

136. (473)

Steph. Byz. ep. s. *Κ ύ θ η ρ α*: *νῆσος πόλιν ὁμώνυμον ἔχουσα πρὸς τῇ Κρήτῃ, ἀπὸ Κυθήρου τοῦ Φοίνικος. ἐκαλεῖτο δὲ Πορφυροῦσσα διὰ τὸ κάλλος τῶν περὶ αὐτὴν πορφυρῶν* (ita corr. Meineke. *τὸ περὶ* vel *παρὰ τῶν π.* codd. *τῶν ἐν αὐτῇ πορφυρῶν* e Stephano habet Eustath. in Il. p. 804, 36. *διὰ τὸ καλλίστας φέρειν πορφύρας* idem in Il. p. 1024, 47 et in Dionys. 498 p. 203 Ox.), *ὡς Ἀ ρ ι σ τ ο τ έ λ η ς. οἱ οἰκήτορες Κυθήριοι* etc.

Cf. Plin. 4, 19, 56: *Cythera cum oppido, antea Porphyris appellata.* agitur autem de Cytheriis seorsim etiam in excerptis Heraclideis. de nomine cf. Steph. s. *Νίσυρος*: *νῆσος μία τῶν Κυκλάδων ... ἐκαλεῖτο καὶ Πορφυρὶς ἀπὸ τῶν ἐν αὐτῇ πορφυρῶν* (cf. Plin. 4, 36, 133. 134).

Κ υ θ ν ί ω ν.

137. (474)

Harpocr. s. *Κ ύ θ ν ι ο ι*: *Δημοσθένης ἐν τῷ περὶ συντάξεως* (or. 13, 34). *Κύθνος μία τῶν Κυκλάδων νήσων, ὡς Ἀ ρ ι σ τ ο τ έ λ η ς ἐν τῇ Κυθνίων πολιτείᾳ* (eadem pleniora posuit Steph. Byz. s. v.: *νῆσος πρὸς τῇ Δρυοπίδι τῶν Κυκλάδων, ἀπὸ Κύθνου κτίσαντος. ἐκαλεῖτο δὲ καὶ Ὀφιοῦσσα καὶ Δρυοπίς.* cf. Bournot p. 288).

138. (475)

Zenob. prov. 4, 83 (cf. Suid. s. v.) *κ υ θ ν ώ λ ε ι ς σ υ μ φ ο ρ α ί*: *τοῦτο εἰς παροιμίαν ἦλθε διὰ τὰ Κυθνίοις συμβάντα. φησὶ γὰρ Ἀ ρ ι σ τ ο τ έ λ η ς οὕτω κακῶς αὐτοὺς διατεθῆναι ὑπὸ Ἀμφιτρύωνος, ὥστε τὰς μεγάλας συμφορὰς κυθνώλεις καλεῖσθαι.*

Cf. Hesych. s. *κ υ θ ν ώ λ η ς*: *ἐξώλης. ἔνιοι δὲ πεποιῆσθαι τὴν λέξιν φασὶ ἀπὸ Κύθνου τῆς νήσου· ἀπολέσθαι γὰρ αὐτὴν ὑπὸ Ἀμφιτρύωνος.* Didymea haec esse patet similemque explicationem, qua ad regionem quandam Argivam eadem res refertur, tradidit Helladius Aegyptius in chrestomathiarum libris (sec. IV in.), ex eodem ut puto Didymo, cuius et novit de proverbiis libros (Phot. bibl. c. 279 p. 530, 10 Bekk.) et in usum videtur vocasse (Phot. p. 533b17, ubi Didymus citatur de prover-

bio δεξιὸν εἰς ὑπόδημα etc. cf. Zenob. 3, 36). hic igitur ita ait (sec. Phot. p. 533, 14): ὅτι τὸ κυθνώλης διὰ τοῦ λ γράφουσιν, ἀλλ' οὐ διὰ τοῦ δ (ita sane κυθνώδης apud Zenobium legitur, quod correxit Schneidewin)· Ἄργους γὰρ ἦν χωρίον τι καλούμενον Κύθνιον, οὗ τοὺς ἄνδρας ποτὲ Ἀμφιτρύων ἀνεῖλε πάντας πλὴν ὀλίγων πάνυ.

Κυμαίων.

139. (476)

Schol. in Eurip. Med. 19 (p. 341 Matth. t. V) (Κρέοντος παῖδ' ὃς) αἰσυμνᾷ (χθονός): αἰσυμνᾶν ἐστὶ τὸ ἡγεῖσθαι καὶ ἄρχειν· ἰδίως δέ φησιν Ἀριστοτέλης ὑπὸ Κυμαίων αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι. αἰσυμνῆται δὲ κριτοὶ ἐννέα (Hom. Od. θ, 258)· τοὺς ἄρχοντας τῶν ἀγώνων (sc. λέγει). hinc eadem Aristotelis etiam nomine servato apud Etym. M. p. 39, 13. 15 s. αἰσυμνῆται, αἰσυμνήτης (cf. Hes. s. αἰσυμνᾷ). ubi quae generalis fuit auctoris observatio (et ipsius etiam veri Aristotelis, cuius v. polit. p. 1285, 30 et 1295, 12 et Theophrasti π. βασιλείας apud Dion. Hal. ant. V p. 336 Sylb. consentit etiam Aristarchus ap. schol. vet. et Eust. in Il. ω, 347 . . . οἱ γὰρ βασιλεῖς τὰ αἴσια νέμουσι. cf. ad Od. θ, 258) in Cymaeorum republica prolata ad ipsos Cymaeos solos errore eius qui scholia Eurip. compilavit translata est: id quod constat e prooemio commentatoris cuiusdam recentioris in Sophoclis Oed. tyr., cuius fragmentum inscriptum διὰ τί τύραννος ἐπιγέγραπται ipsi fabulae vulgo in codicibus praemittitur (inde sumtum a Suida s. τύραννος). ibi haec: ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας προσαγορεύεσθαι.

140. (477)

Etymol. M. p. 199, 4 (e lexico quodam rhetorico, e quo eadem Suid. — cf. Apostol. prov. 4, 99 — et om. Ar. nom. schol. in Platon. politicum p. 373 Bekk.) s. βλάξ . . . εἰς δὲ τὸ λεξικὸν τὸ ῥητορικὸν εὗρον ἐγὼ εἰρῆσθαι τὴν λέξιν ἀπὸ ἰχθύος τινὸς ὁμοίου σιλούρῳ, ἀχρήστου δὲ οὕτως ὡς μηδὲ κύνα αὐτῷ χρῆσθαι (κυνὶ βρώσιμον εἶναι schol. Plat. vel κύνα ἐσθίειν αὐτόν, ut in cod. Raudnic.) . . . οἱ δὲ ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ (ita Et. Suid. Apost., ἐν Κύμῃ schol. Plat.) χωρίου τῆς Βλακείας, οὗ μέμνηται καὶ Ἀριστοτέλης. καὶ ἐν Ἀλεξανδρείᾳ δὲ τέλος τι βλακεννόμιον etc.

Κυπρίων.

141. (478)

Harpocr. (e quo Suid.) s. *ἄνακτες καὶ ἄνασσαι*: *οἱ μὲν υἱοὶ τοῦ βασιλέως καὶ οἱ ἀδελφοὶ καλοῦνται ἄνακτες, αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες ἄνασσαι· Ἀριστοτέλης ἐν τῇ Κυπρίων πολιτείᾳ* (cod. E: *Ἀριστ. ἐν τῇ Κ. π. φησὶ «καλοῦνται δὲ οἱ . . . ἄνασσαι»*).

Cf. Clearch. ap. Athen. VI p. 256ᵃ.

142. (479)

Iul. Pollux 2, 95 (ubi *περὶ ὀδόντων*): *ὁ δὲ Νικοκλέους τοῦ Κυπρίου πατήρ, ᾧ τὰς παραινέσεις ὁ Ἀθηναῖος σοφιστὴς* (Isocrates) *ἔγραψεν, τὸ μὲν ὄνομα αὐτῷ Τίμαρχος ἦν, διστοίχους δ' εἶχεν ἄρα τῷ Ἀριστοτέλους λόγῳ τοὺς ὀδόντας, κατὰ δὲ τὴν Ἴωνος τοῦ Χίου δόξαν τριστοίχους Ἡρακλῆς.*

Ex Polluce (citatur *Ἰούλιος* v. 955) hausit Tzetz. hist. (chil. III, 961):

Τίμαρχον τὸν πατέρα δὲ Κυπρίου Νικοκλέους
Ἀριστοτέλης γέγραφε δίστοιχον τοῖς ὀδοῦσιν.

Eadem refert Plinius n. h. XI s. 63: *Timarchus Nicoclis filius Paphii duos ordines habuit maxillarum. frater eius non mutavit primores ideoque praetrivit.*

Κυρηναίων.

143. (480)

Schol. in Aristoph. Plut. 925 (unde Eudocia p. 92) *καὶ τὸ Βάττου σίλφιον*: *Βάττος Κυρήνην ἔκτισεν ἐλθὼν ἀπὸ Θήρας τῆς κατὰ Κρήτην νήσου· ὃν τιμήσαντες Λίβυες ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων τὸ σίλφιον καὶ ἐν νομίσματι* (*νομίσμασιν* Eud.) *αὐτὸν ἐχάραξαν, τῇ μὲν βασιλέα* (ita Rav. i. e. tanquam regem, *βασιλεία* Ven., *βασιλείαν* Ald. Dind. Dübner, item Eudocia), *τῇ δὲ σίλφιον* (cod. Rav. pergit post *σίλφιον*: *ἔστι δὲ βοτάνη πολυτίμητος*, ceteris omissis) *παρὰ τῆς πόλεως δεχόμενον* (reliqua usque ad *ἄλλως* om. Eud.), *ὡς Ἀριστοτέλης ἐν τῇ Κυρηναίων πολιτείᾳ. ἔνθεν καὶ ἡ παροιμία ἐπὶ τῶν διαφόρους καὶ ἐξόχους τιμὰς δεχομένων.* — *ἄλλως* (i. e. ex alio commentatore). *σίλφιον βοτάνη πολυτίμητος· ἡ δὲ αἰτία τοιαύτη ἐστί. Βάττος ὁ καὶ* (vulgo *ὡς*) *Ἀριστοτέλης πόλιν ἐν Λιβύῃ Κυρήνην* (Eud. brevius *ἄλλως· Βάττος ἐν Λιβύῃ Κυρήνην* etc.) *ἔκτισε κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος χρησμόν* (de quo v. Herod. 4, 155. Heraclid. pol. fr. p. 10, 4. schol. Pind. Pyth. IV inscr. et ad v. 10. 15. V, 76). *καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν τῆς εὐεργεσίας βουλόμενοι χαρίσα-*

σθαι τῷ βασιλεῖ ἐποίησαν (*εἰκόνα· ὥς δέ τινες*, add. Eud.) *δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον* (*τὴν πολυτίμητον βοτάνην* add. Eud.). *καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ κλάδος καὶ ὁ ὀπὸς καὶ ἁπλῶς τὸ πᾶν αὐτοῦ πολλῆς τιμῆς ἄξιόν ἐστιν. καὶ οἱ Ἀμπελιῶται δὲ ἔθνος Λιβύης εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου, ὥς φησιν Ἀλεξανδρίδης* (de quo Müller, Fr. hist. III, 106).

Secundum scholium amplius exsequitur in commentario ad h. l. Thomas Magister (ex quo varie excerpta sunt quae scholia leguntur in codd. Vindob. Graec. phil. 167. 193. 210 ch. sec. XV quos ipse olim perlustravi): *οὗτος ὁ Βάττος Θηραῖος* (cod. *Θηβαῖος*) *ἦν . . . κατὰ τοῦτον οὖν τὸν χρησμὸν εἰς Λιβύην πεπλευκὼς κτίζει Κυρήνην. οἱ Λίβυες δὲ Κυρηναῖοι* (scil. *τῆς εὐεργεσίας*) *αὐτὸν ἀμειβόμενοι τὸ πολυτιμότατον αὐτῷ δωρεὰν προσφέρουσι σίλφιον. καὶ ὃς πάλιν ὁ Βάττος τῆς εὐχαριστείας αὐτοὺς ἀμειβόμενος* (add. *ἐν*) *τῷ ἑνὶ μέρει τοῦ αὐτοῦ νομίσματος* (*ὀνόματος* cod.) *χαράττει Κυρήνην ὥσπερ μητέρα μετὰ τῶν Κυρηναίων καὶ παίδων αὐτῆς τῷ βασιλεῖ τὸ σίλφιον φέρουσαν, θατέρῳ δὲ τοῦ νομίσματος μέρει ἑαυτὸν ἐνετύπωσε. τοῦ δὲ ῥηθέντος σιλφίου ἥ τε ῥίζα καὶ ὁ καυλὸς καὶ τὸ φύλλον καὶ ὁ ὀπὸς καὶ ἁπλῶς εἰπεῖν ἅπαν πολυτιμότατόν ἐστιν. καὶ εἰς Δελφοὺς δὲ Ἀπόλλωνι Λίβυες καυλὸν σιλφίου ἀνέθεσαν* (cod. 167, f. 40[b]). Thomas descripsisse videtur Tzetzis (quem passim citat, sequitur ubique) comm. in Aristoph. consonat enim cum narrationis illius tenore Tzetzis in chiliad. VI hist. 48 (p. 209 Kiessling. cf. III, 110).

Cf. Suid. (cui consonat Apostol. prov. 4, 76. cf. similia in App. prov. 1, 51 ed. Gott., Macar. 2, 71) s. *Βάττου σίλφιον: ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων· οἱ γὰρ Κυρηναῖοι ἑνὶ τῶν Βάττων* (*ὡς* add. Eud.) *ἐξαίρετον ἔδοσαν τὸ σίλφιον* (hucusque eadem habet Eudemus i. e. Eudemei lexici quae nunc servatur epitome, v. cod. Vind.) *καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν. οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου*. Hesych. (cf. Proverb. Bodlej. 258 in Paroemiogr. Gott. t. I p. 386 not.) s. *Βάττου σίλφιον: παροιμία ἐπὶ τῶν τὰς ὑπερβαλλούσας τιμὰς εὑρισκομένων* (eadem explicatio etiam in Lex. Seg. p. 224, 30). *μετενήνεκται δὲ ἀπὸ τοῦ τοὺς* (*ἐπὶ τοῦ Κυρηναίου* cod. sec. Schow. p. 172) *Κυρηναίους ἑνὶ τῶν Βαττιαδῶν μεταδοῦναι ἐξαίρετον τὸ σίλφιον, ὃ ἐκτέτμηται παρ' αὐτοῖς, ὥστε καὶ ἐν τῷ νομίσματι ὅπου μὲν Ἄμμωνα ὅπου δὲ σίλφιον ἐγκεχαράχθαι*. quae e communi fonte omnia ducta esse patet (Didymo). sed unde Ammon?

144. (481)

Pollux 9, 60 et 62: *ἡ μέντοι δραχμὴ εἶχεν ὀβολοὺς ἕξ . . . ἦν δὲ οὐ δραχμὴ νόμισμα μόνον, ἀλλὰ καὶ πεντηκοντάδραχμον καὶ πεντάδραχμον παρὰ Κυρηναίοις καὶ τετράδραχμον ἐκαλεῖτο καὶ τρίδραχμον καὶ δίδραχμον. τὸ παλαιὸν δὲ τοῦτ' ἦν Ἀθηναίοις νόμισμα καὶ ἐκαλεῖτο βοῦς* (Philoch. in schol. Aristoph. av. 1106) . . . *ἦν μέντοι, ὡς Ἀριστοτέλης φησίν, ἐν Κυρήνῃ καὶ τετραστάτηρον καὶ στατὴρ καὶ ἡμιστάτηρον χρυσᾶ νομίσματα. τῆς δὲ δραχμῆς τὸ ἥμισυ ἡμίδραχμον* etc.

144ᵃ. (482?)

Hesych. (cf. Schow p. 67) s. *Ἀμμοῦς: ὁ Ζεύς. Ἀριστοτέλης.*

De Ammone etsi maxime sane veri simile sit in Cyrenaeorum republica fuisse disputatum (cf. schol. ad Pind. Pyth. IV, 28. Paus. VI, 8. Plin. V, 5, 31 etc.), mentio tamen esse potuit et in Lacedaemoniorum republica (cf. Boeckh ad schol. Pind. Pyth. IX, 89 p. 404. Paus. III, 18. 21) et in Atheniensium (cf. fr. 58) et alibi. nominis forma eadem quae iam apud Herodotum II, 42 extat, confirmatur et explicatur a Plut. de Is. 9 (ubi v. Parthey) cf. Eudoc. p. 48 (ubi quorum mentio est *τῶν μεγάλων φιλοσόφων* sunt qui vocantur Neoplatonici, velut Ammonius. inter quos de Ammone Iove agit Hermias in Phaedr. p. 200 Ast). nihilo tamen secius concedendum est fieri potuisse ut mero librarii errore Aristotelis nomen poneretur pro Herodoti (*Ἀρ-*, *Ἡρ-*).

144ᵇ. (483)

Antigon. mirab. 144: *τῶν δ' ἐν Ἄμμωνι* (*Ἄμμωνι* cod.) *κρηνῶν λέγειν* (*φησὶ Καλλίμαχος* qui instituit *ἐκλογὴν τῶν παραδόξων*, v. Antig. 129) *Ἀριστοτέλη, ὅτι τὴν μὲν Ἡλίου γε νομιζομένην μέσων μὲν νυκτῶν καὶ μεσημβρίας γίγνεσθαι θερμήν, ἕωθεν δὲ καὶ δείλης καθαπερεὶ κρύσταλλον, ἡ δ' ἄλλη διότι καταβαίνοντος μὲν ἡλίου πηγνύει, ἐπὶ δυσμαῖς δ' ἰόντος ἵσταται.*

Eodem Callimacho usi sunt et Isigonus Nicaeensis et post eum Plinius. nam inter excerpta illa Florentina ex Isigoni *δευτέρου περὶ ἀπίστων*, quibus Sotionis falsum nomen e Photio petitum sua ex coniectura, non codicis auctoritate adscripsit Henricus Stephanus primus editor — continebat autem secundus liber mirabilia aquarum — leguntur haec c. 19: *Ἀριστοτέλης Ἄμμωνος κρήνην εἶναί φησιν, ἧς τὸ μὲν ὕδωρ μεσημβρίας καὶ μεσονυκτίου γίνεσθαι θερμόν, ὃν φύσει ψυχρότατον.* Plinius ita n. h. 2, 106: *Iovis Hammonis stagnum interdiu frigidum noctibus fervet. in Troglodytis fons Solis appellatur dulcis et circa meridiem ma-*

xime frigidus, mox paulatim tepescens ad noctis media fervore et amaritudine infestatur. quem Solis fontem apud Ammonios celebrem primus descripsit Herod. 4, 181 multique alii postea memoraverunt (Beckmann ad Antig. p. 204 sq. idem p. 205: *alterius fontis mentio apud alios auctores mihi obvenit nulla*).

Haec quum libri cuiusdam Aristoteli adscripti *περὶ ὑδάτων* praeter Theophrasteum satis notum nulla fiat mentio, Theophrasteo autem libro *περὶ ὑδάτων* in eodem opere quo Aristotelem illum citavit usus esse reperiatur Callimachus (v. Antig. 158 c. not.), incerta sunt quo pertineant, nisi forte cum ipso Ammonis nomine ad politias. quae autem in capite *περὶ ὑδάτων* tanquam *Ἀριστοτέλους* apponit Stob. ecl. phys. 34, cave ne pro fragmento habeas Aristotelico, quae Aristotelicae philosophiae sententiam describunt (cf. c. 33. 30. 29 etc.), sumta illa ex libro de placitis philosophorum sub falsis Plutarchi et Galeni nominibus postea excerpti quem Stobaeus quoque pro fundamento habebat eclogarum suarum (cf. Stob. c. 10, 12 = Plut. pl. 1, 3 etc.).

Λακεδαιμονίων.

145. (484)

Schol. in Pindar. Isthm. 6 (in codd. 7), 18 (p. 551 Boeckh) *ἢ Δωρίδ' ἀποικίαν* (*ἁνίκα ... ἕλον Ἀμύκλας Αἰγεῖδαι σέθεν ἔκγονοι*): *οἱ Ἡρακλεῖδαι ... ἄλλως* (i. e. scholium ex alio commentario excerptum). *Αἰγείδας νῦν οὐκ ἂν εἴη λέγων τοὺς Ἀθηναίους· περὶ γὰρ Θηβῶν ὁ λόγος. καὶ εἰσὶν Αἰγεῖδαι φατρία Θηβαίων ἀφ' ἧς ἧκόν τινες εἰς Σπάρτην Λακεδαιμονίοις βοηθήσοντες ἐν τῷ πρὸς Ἀμυκλαεῖς πολέμῳ, ἡγεμόνι χρησάμενοι Τιμομάχῳ, ὃς πρῶτος μὲν πάντα τὰ πρὸς πόλεμον διέταξε Λακεδαιμονίοις, μεγάλων δὲ παρ' αὐτοῖς ἠξιώθη τιμῶν· καὶ τοῖς Ὑακινθίοις δὲ ὁ χάλκεος αὐτῷ θώραξ προτίθεται· τοῦτον δὲ Θηβαῖοι ὅπλον ἐκάλουν. ταῦτα ἱστορεῖ καὶ Ἀριστοτέλης ἐν τῇ Λακώνων πολιτείᾳ. ἔνιοι δέ φασι τὸν Πίνδαρον νῦν μὴ τοῦ πρὸς Ἀμυκλαεῖς πολέμου μνημονεύειν μηδὲ τῶν σὺν Τιμομάχῳ Αἰγειδῶν, ἀλλὰ τῶν σὺν τοῖς Ἡρακλείδαις εἰς Πελοπόννησον κατελθόντων, ὧν Ἀριστόμαχος ὁ Κλεάδα καὶ Κλεάδας* (*Κλεοδαῖος* ap. Hesiodum, Herod. Paus. alios) *ὁ Ὕλλου ἡγοῦντο· καὶ γὰρ τότε Θήβηθεν ἥκειν τοῖς Δωριεῦσι τοὺς ἁψαμένους τῆς καθόδου Αἰγείδας μετὰ τῶν Ἀθηναίων, εἶναι δὲ τοὺς Θήβηθεν Αἰγείδας τὸ ἀνέκαθεν Ἀθηναίους. δυεῖν οὖν ἀποστάσεων ἐκ τῆς τῶν Αἰγειδῶν τῶν Θηβαίων* (*φατρίας* add. Boeckh) *εἰς Σπάρτην γεγονυιῶν, ἔργον ἀποφήνασθαι ποτέρας ὁ Πίνδαρος νῦν μνημονεύει. μήποτε δὲ τῆς δευτέρας. Ἀριστοτέλης γάρ φησιν ὅτι*

πολεμοῦντες οἱ Λάκωνες Ἀμυκλαεῦσιν, ὡς ἐπύθοντο παρὰ θεοῦ τοὺς Αἰγείδας συμμάχους λαβεῖν, εἰς Ἀθήνας ἐπορεύοντο, καταλύσαντες δ' ἐν Θήβαις εὐωχουμένης τῆς τῶν Αἰγειδῶν φατρίας ἐκλήθησαν· ἀκούσαντες (add. *δὲ*) *μετὰ δεῖπνον εὐχομένου τοῦ ἱερέως διδόναι τοῖς Αἰγείδαις τοὺς θεοὺς τὰ ἀγαθὰ καὶ συμβαλόντες τὸν χρησμὸν ἐντεῦθεν ἔλαβον τὴν συμμαχίαν.*

Ultima haec de altera Aegidarum expeditione ex Ephoro traduntur in schol. Pind. Pyth. 5, 101, ubi eadem de utraque et Ephori et Aristotelis testimonia a Didymo primum in commentario Pindarico prolata iterum exhibentur: *διτταὶ δὲ αἱ τῶν Θήβηθεν Αἰγειδῶν εἰς Σπάρτην ἀφίξεις, προτέρα μὲν ἡ σὺν τοῖς Δωριεῦσι καὶ Ἀριστοδήμῳ ἧς μέμνηται Ἔφορος ἐν τῇ πρώτῃ λέγων . . . ἑτέρα δὲ* (de qua solus Aristoteles, ad Timocharum ille diversumque tempus fabulam de Aristomacho atque de Aegidarum Laconicorum origine et adventu vulgo narratam transferens) *ἡ σὺν Τιμομάχῳ, ἐν ᾧ πρὸς Ἀμυκλαεῖς Λακεδαιμονίοις καθειστήκει πόλεμος.*

146. (485)

Plutarch. Lycurg. 1: *ἥκιστα δὲ οἱ χρόνοι καθ' οὓς γέγονεν ὁ ἀνὴρ* (sc. Lycurgus) *ὁμολογοῦνται. οἱ μὲν γὰρ Ἰφίτῳ συνακμάσαι καὶ συνδιαθεῖναι τὴν Ὀλυμπιακὴν ἐκεχειρίαν λέγουσιν αὐτόν, ὧν ἐστὶ καὶ Ἀριστοτέλης ὁ φιλόσοφος* (et ceteri fere omnes sec. Athen. XIV, 635[f], velut Hermippus ap. Plut. Lyc. 23, cf. Heraclid. exc. pol. p. 6, 12 et praeterea Paus. 5, 4. Euseb. chron. ap. Cramer. Anecd. Par. II, 141. Fischer, Griech. Zeittafeln p. 38) *τεκμήριον προσφέρων* (*προφέρων* Steph. e cod. Par.) *τὸν Ὀλυμπίασι δίσκον, ἐν ᾧ τοὔνομα τοῦ Λυκούργου διασώζεται καταγεγραμμένον. οἱ δὲ* etc.

Ceterum de disci illius origine ex hoc loco, qui ad Olympionicarum librum immerito referri solet, nihil plane sequitur nisi quae fuerit Aristotelicae aetatis opinio antiquitus tradita, neque disci aetatem probari eo verum famae, cuius ipse monumentum est. etenim consentaneum est longo post Lycurgum tempore et post ludorum institutorum primam quam numerabant Coroebi olympiadem, quum iam in universa Graecia et Lycurgi gloria et Olympia celebrarentur atque victorum *ἀναγραφαὶ* fieri coeptae essent vere continuae, tum demum in institutionis memoriam atque in maiorem legum Olympiacarum dignitatem cum Iphiti ab *Ἐκεχειρίᾳ* coronati statua a Pausania descripta (5, 10) aliisque multis monumentis (Paus. 5, 20 etc. cf. de Oebotae statua id. 6, 3) discum quoque illum factum fuisse et hellanodicarum cura (Phlegon in Olymp. fr. apud Westermanni Paradoxogr. p. 206, 3 *καὶ ὁ δίσκος ἐγράφη τοῖς ἑλλανοδίκαις καθ' ὃν ἔδει τὰ Ὀλύμπια ἄγειν.* cf. Paus. 5, 20) positum.

147. (486)

Plutarch. Lycurg. 31: *ὁ δὲ (Λυκοῦργος) . . . ὑπερῆρε τῇ δόξῃ τοὺς πώποτε πολιτευσαμένους ἐν τοῖς Ἕλλησι. δι' ὅπερ καὶ Ἀριστοτέλης ἐλάττονας σχεῖν φησὶ τιμὰς ἢ προσῆκον ἦν αὐτὸν ἔχειν ἐν Λακεδαίμονι, καίπερ ἔχοντα τὰς μεγίστας. ἱερόν τε γάρ ἐστιν αὐτοῦ καὶ θύουσι καθ' ἕκαστον ἐνιαυτὸν ὡς θεῷ.*

Ultimis verbis similia Ephori leguntur de Lycurgi meritis disputantis apud Strabonem 8 p. 366: *μόνῳ γοῦν Λυκούργῳ ἱερὸν ἱδρῦσθαι καὶ θύεσθαι κατ' ἔτος.* e quo loco patet de Ephoro maxime et qui huic consentiebat politiarum auctore Aristotele cogitasse Heraclidem (exc. pol. p. 6, 4) ita dicentem: *τὴν Λακεδαιμονίων πολιτείαν τινὲς Λυκούργῳ προσάπτουσι πᾶσαν.*

148. (487)

Clemens Alex. strom. I p. 152 Sylb. (t. II p. 113 Klotz): *τόν τε Μίνω παρὰ Διὸς δι' ἐννάτου ἔτους λαμβάνειν τοὺς νόμους ἱστοροῦσι φοιτῶντα εἰς τὸ τοῦ Διὸς ἄντρον* (cf. Ephorus ap. Strab. X p. 476. Heracl. exc. pol. p. 8, 6) *τόν τε αὖ Λυκοῦργον τὰ νομοθετικὰ εἰς Δελφοὺς πρὸς τὸν Ἀπόλλωνα συνεχὲς ἀπιόντα παιδεύεσθαι γράφουσι Πλάτων τε καὶ Ἀριστοτέλης καὶ Ἔφορος.*

149. (488)

Plutarch. Lyc. 6: *οὕτω δὲ περὶ ταύτην* (scil. *τὴν τῶν γερόντων*) *ἐσπούδασε τὴν ἀρχὴν ὁ Λυκοῦργος, ὥστε μαντείαν ἐκ Δελφῶν κομίσαι περὶ αὐτῆς ἣν ῥήτραν καλοῦσιν. ἔχει δὲ οὕτως· « Διὸς Ἑλλανίου καὶ Ἀθανᾶς Ἑλλανίας ἱερὸν ἱδρυσάμενον, φυλὰς φυλάξαντα καὶ ὠβὰς ὠβάξαντα, τριάκοντα* (de interpunctione cf. Sintenis ad h. l., Schoemann, Griech. Alt. I p. 212) *γερουσίαν σὺν ἀρχαγέταις καταστήσαντα, ὥρας ἐξ ὥρας* (i. e. quovis mense cf. Schoemann l. c. p. 234) *ἀπελλάζειν μεταξὺ Βαβύκας τε καὶ Κνακιῶνος* (*Κνακίωνος* codd. cf. Herm. Sauppe, Epist. crit. ad G. Herm. Lips. 1841, p. 68), *οὕτως* (*αὐτὼς* Sauppe l. c., *καὶ οὕτως* ed. Paris. 1846) *εἰσφέρειν τε καὶ ἀφίστασθαι· δάμῳ δὲ κυρίαν ἦμεν καὶ κράτος* (codd. *γαμωδᾶν γοριᾶν ἢ μὴν* aut similia, v. Sint. ad h. l. et t. IV p. IX. em. O. Müller, Dor. II p. 80 ed. alt. *τὰν κυρίαν* Sint.)». *ἐν τούτοις τὸ μὲν φυλὰς φυλάξαι καὶ ὠβὰς ὠβάξαι διελεῖν ἐστὶ καὶ κατανεῖμαι τὸ πλῆθος εἰς μερίδας, ὧν τὰς μὲν φυλὰς τὰς δὲ ὠβὰς προσηγόρευκεν. ἀρχαγέται δὲ οἱ βασιλεῖς λέγονται, τὸ δὲ ἀπελλάζειν ἐκκλησιάζειν ὅτι τὴν ἀρχὴν καὶ τὴν αἰτίαν τῆς πολιτείας εἰς τὸν Πύθιον ἀνῆψε. τὴν δὲ Βαβύκαν καὶ τὸν Κνακιῶνα νῦν Οἰνοῦντα προσαγορεύουσιν· Ἀριστοτέλης δὲ τὸν μὲν Κνακιῶνα ποταμόν, τὴν δὲ Βα-*

βύκαν γέφυραν. ἐν μέσῳ δὲ τούτων τὰς ἐκκλησίας ἦγον οὔτε παστάδων οὐσῶν οὔτε ἄλλης τινὸς κατασκευῆς... τοῦ δὲ πλήθους ἀθροισθέντος εἰπεῖν μὲν οὐδενὶ γνώμην τῶν ἄλλων ἐφεῖτο, τὴν δ' ὑπὸ τῶν γερόντων καὶ τῶν βασιλέων προτεθεῖσαν ἐπικρῖναι κύριος ἦν δῆμος. ὕστερον δὲ etc. quae sequuntur, ex eodem fonte qui non est Aristoteles, sed quocum Aristoteles comparatur: id quod de ceteris etiam valet Plutarchi locis, qui sicut Heraclides in Lycurgeis Ephorum praecipue secutus esse videtur.

150. (489)

Plutarch. Lyc. 5: *ἐπανελθὼν οὖν πρὸς οὕτω διακειμένους εὐθὺς ἐπεχείρει τὰ παρόντα κινεῖν καὶ μεθιστάναι τὴν πολιτείαν ... διανοηθεὶς δὲ ταῦτα πρῶτον μὲν ἀπεδήμησεν εἰς Δελφούς· καὶ τῷ θεῷ θύσας καὶ χρησάμενος ἐπανῆλθε τὸν διαβόητον ἐκεῖνον χρησμὸν κομίζων* (cf. Ephorus ap. Strab. X p. 482 idemque in exc. Heracl. pol. p. 6, 11) ... *ὡς δ' ὁ καιρὸς ἧκε τριάκοντα τοὺς πρώτους ἐκέλευσε μετὰ τῶν ὅπλων ἕωθεν εἰς ἀγορὰν προελθεῖν ... τοσούτους δέ φησι κατασταθῆναι τοὺς γέροντας Ἀριστοτέλης, ὅτι τριάκοντα τῶν πρώτων μετὰ Λυκούργου γενομένων δύο τὴν πρᾶξιν ἐγκατέλιπον ἀποδειλιάσαντες. ὁ δὲ Σφαῖρος ἐξ ἀρχῆς φησὶ τοσούτους γενέσθαι τοὺς τῆς γνώμης μετασχόντας.*

151. (490)

Plutarch. Lyc. 28: *ἡ δὲ καλουμένη κρυπτία παρ' αὐτοῖς, εἴγε δὴ τοῦτο τῶν Λυκούργου πολιτευμάτων ἕν ἐστιν, ὡς Ἀριστοτέλης ἱστόρηκε, ταύτην ἂν εἴη* (sc. *τῆς ἀδικίας*) *καὶ τῷ Πλάτωνι περὶ τῆς πολιτείας καὶ τοῦ ἀνδρὸς ἐνειργασμένη δόξαν. ἦν δὲ τοιαύτη· τῶν νέων οἱ ἄρχοντες διὰ χρόνου τοὺς μάλιστα νοῦν ἔχειν δοκοῦντας εἰς τὴν χώραν ἄλλως ἐξέπεμπον ἔχοντας ἐγχειρίδια καὶ τροφὴν ἀναγκαίαν, ἄλλο δὲ οὐδέν. οἱ δὲ μεθ' ἡμέραν μὲν εἰς ἀσυνδήλους διασπειρόμενοι τόπους ἀπέκρυπτον ἑαυτοὺς καὶ ἀνεπαύοντο, νύκτωρ δὲ κατιόντες εἰς τὰς ὁδοὺς τῶν εἱλώτων τὸν ἁλισκόμενον ἀπέσφαττον* (hanc descriptionem Ephoro debere videtur Plut., sicut Heraclides quam habet geminam p. 6, 13: *λέγεται δὲ καὶ τὴν κρυπτίαν εἰσηγήσασθαι καθ' ἣν ἔτι καὶ νῦν* — i. e. Ephori aetate — *ἐξιόντες ἡμέρας κρύπτονται, τὰς δὲ νύκτας μεθ' ὅπλων ἐκκύπτονται* — in codd. aut iterum legitur *κρύπτονται* aut vox corr. plane omittitur — *καὶ ἀναιροῦσι τῶν εἱλώτων ὅσους ἂν ἐπιτήδειον ᾖ*) ... *Ἀριστοτέλης δὲ μάλιστά φησι καὶ τοὺς ἐφόρους ὅταν εἰς τὴν ἀρχὴν καταστῶσι πρῶτον, τοῖς εἵλωσι καταγγέλλειν πόλεμον, ὅπως εὐαγὲς ᾖ τὸ ἀνελεῖν.*

Ceterum ex his Aristotelis verbis sequi videtur, fabulosam illam at-

que erroneam militaris τῶν κρυπτῶν officii, quod plane respondet peripolis Atticis, descriptionem (Müller, Dorer II p. 38) e solenni quodam ritu male intellecto natam esse, qui antiquissimorum temporum bellique contra Achaeos olim gesti memoriam conservaret.

152. (491)

Plutarch. Cleomen. 9: *προεκήρυττον οἱ ἔφοροι τοῖς πολίταις εἰς τὴν ἀρχὴν εἰσιόντες, ὡς Ἀριστοτέλης φησί, κείρεσθαι τὸν μύστακα* (*μὴ τρέφειν μύστακα* Plut. de sera n. v. et Procl.) *καὶ προσέχειν* (*πείθεσθαι* Plut. alt. loco) *τοῖς νόμοις, ἵνα μὴ χαλεποὶ ὦσιν αὐτοῖς· τὸ τοῦ μύστακος οἶμαι προτείνοντες, ὅπως καὶ περὶ τὰ μικρότατα τοὺς νέους πειθαρχεῖν ἐθίζωσι.*

Idem usque ad v. *χαλεποὶ ὦσιν αὐτοῖς*, Aristotelis tamen nomine omisso, eisdem fere verbis (utpote e collectaneis pro more scriptoris repetitum) legis apud Plut. de sera num. vind. 4 et ex Plutarchi comm. in Hesiodum apud Procl. in Hes. opp. v. 722 p. 323 Gaisf. ubi sic: *ἐν μὲν οὖν Σπάρτῃ τοῖς εἰς ἀρχὴν καθισταμένοις* (forte *εὐθὺς εἰς ἀρχὴν καθιστάμενοι* Wytt.) *οἱ ἔφοροι προεκήρυττον μὴ τρέφειν μύστακας, ἵνα τοὺς τὸ φαῦλον τοῦτο καὶ εὐτελὲς παραβάντας μειζόνως κολάζωσιν.*

153. (492)

Harpocr. (e quo Phot. p. 284, 21 et Suid.) s. *μόραν* (codd. *μόρων*): *Δημοσθένης Φιλιππικοῖς* (or. 13, 22. cit. etiam Harp. p. 133, 25). *συντάγματά τινα Λακωνικὰ οὕτω καλεῖται. διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ. φησὶ δὲ ὡς εἰσὶ μόραι* (*μοῖραι* codd.) *ἕξ* (*ἑπτὰ* Phot.) *ὠνομασμέναι, καὶ διῄρηνται εἰς τὰς μόρας* (*μοίρας* codd.) *Λακεδαιμόνιοι πάντες. Ξενοφῶν δὲ ἐν τῇ Λακώνων πολιτείᾳ* (11, 4) *φησὶν «ἑκάστη δὲ τῶν πολιτικῶν μορῶν ἔχει πολέμαρχον ἕνα, λοχαγοὺς δ̄, πεντηκοστῆρας* (codd. *πεντηκοστύας*) *η̄, ἐνωμοτάρχας ις̄».*

154. (493)

Hesych. s. *λόχοι*: *Λακεδαιμονίων φησὶν Ἀριστοφάνης* (Lys. 453) *τέτταρας* (ita cod. sec. Schow. p. 509, *τέτταρες* ed.)· *πέντε γάρ* (corr. *δέ*, cf. tamen schol. Aristoph.) *εἰσιν, ὥς φησιν Ἀριστοτέλης*. cf. Phot. s. *λόχοι*: *Λακεδαιμονίων δ̄, ὡς Ἀριστοφάνης. Θουκυδίδης δὲ ε̄, Ἀριστοτέλης ζ̄.* in quibus nomina auctorum male commutavit Photius: ita enim dicere debebat *Ἀριστοτέλης δὲ ε̄, Θουκυδίδης* (5, 68) *ζ̄*.

Ex eodem cum lexicis fonte (Didymo) derivata sunt quae leguntur in schol. Aristoph. Lysistr. 453 *ὅτι καὶ παρ' ἡμῖν εἰσὶ* (*τέτταρες λόχοι*

μαχίμων γυναικῶν): *παρὰ ταῖς γυναιξὶν ὑπάρχουσι δ̄ λόχοι. τοῦτο δέ φησιν, ὅτι καὶ παρὰ Λακεδαιμονίοις τέσσαρες ὑπάρχουσι λόχοι οἷς κέχρηται ὁ βασιλεύς.* — *τέτταρες λόχοι* (ex alio comm.): *ἀργότερον τὰ Λακώνων ἔοικεν ἐξειργάσθαι ὁ ποιητής. λόχοι γὰρ οὐκ εἰσὶ τέτταρες ἐν Λακεδαιμονίᾳ ἀλλὰ ε̄* (secundum Aristotelem, cui nomina etiam deberi manifestum est), *Ἔδωλος, Σίνις, Ἀρίμας, Πλοάς, Μεσσοάγης* (corr. *Μεσοάτης* O. Müller, Dorer II, 234. cf. 44). *ὁ δὲ Θουκυδίδης ζ̄ φησὶ χωρὶς τῶν Σκιριτῶν.* inde corrigenda sunt nomina in schol. Thucyd. IV, 8: *λόχοι Λακεδαιμονίων πέντε Αἰδώλιος, Σίνις, Σαρίμας, Πλόας, Μεσοάτης.* cf. Hesych. s. *Ἔδωλος: λόχος Λακεδαιμονίων οὕτως ἐκαλεῖτο.* ceterum hos lochos quos non moris subditos, sed pro ipsis moris (recentioribus? Schoemann, Griech. Alt. I, 283) fuisse patet, cum quinque Spartanorum comis cohaerere e Mesoatarum nomine efficias (*Πλοάς* cf. *λόχος Πιτανάτης* de quo Müller Dorer II, 45. *Ἀρίμας* = *Λιμνάτης? Σίνις* = *Κυνοσουρέων?*)

155. (494)

Schol. in Aristoph. Acharn. 320 (e quibus Ar. nom. om. Suid. s. *φοινικίδα* et breviter etiam Etym. M. p. 385, 25) *μὴ οὐ καταξαίνειν* (*τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα*): *μὴ οὐχὶ ... Ἀριστοτέλης δέ φησιν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ χρῆσθαι Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους, τοῦτο μὲν ὅτι τὸ τῆς χρόας ἀνδρικόν, τοῦτο δὲ ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥύσεως ἐθίζει καταφρονεῖν. τὸ οὖν ἐν φοινικίδι ἀντὶ τοῦ ἐν τάξει πολεμίων* etc. cf. Moeris Attic. s. *φοινικίς: ἔνδυμα Λακωνικὸν ὁπότε εἰς πόλεμον ἴοιεν, διὰ τὸ ὁμοχροεῖν τῷ αἵματι. Ἀριστοτέλης ἐν πολιτείᾳ Λακεδαιμονίων* (cod. *λέγει* pro *λακεδ.*).

Eadem sive ipsius Aristotelis explicatio sive eius qui primus Aristotelis testimonio usus erat olim et in Hesychii fonte extitisse videtur, apud quem haec tantum servantur s. *φοινικίς* (cod. *φοινικῆς* sec. Schow. p. 772, ed. *φοινίκης*): *ὅπλον* (immo *ἔνδυμα*) *ἐρυθρόν*, et apud alios scriptores nunc quoque legitur, cf. Plutarch. instit. Lacon. 24: *ἐν τοῖς πολέμοις φοινικίσιν ἐχρῶντο· ἅμα μὲν γὰρ ἡ χρόα ἐδόκει αὐτοῖς ἀνδρικὴ εἶναι, ἅμα δὲ τὸ αἱματῶδες τοῦ χρώματος πλείονα τοῖς ἀπείροις φόβον παρέχειν. καὶ τὸ μὴ εὐπερίφωρον δὲ τοῖς πολεμίοις εἶναι ἐάν τις αὐτῶν πληγῇ, ἀλλὰ διαλανθάνειν διὰ τὸ ὁμόχρουν, χρήσιμον.* Aelian. var. hist. 6, 6: *φοινικίδα δὲ ἀμπέχεσθαι κατὰ τὰς μάχας ἀνάγκη ἦν· ἔχειν δὲ τὴν χρόαν καὶ σεμνότητός τι, πρὸς ταύτῃ γε μὴν καὶ τὴν ῥύσιν τοῦ ἐπιγενομένου αἵματος ἐκ τῶν τραυμάτων ἔτι μᾶλλον ἐκπλήττειν τοὺς*

ἀντιπάλους, βαθυτέρας τῆς ὄψεως γινομένης καὶ φοβερωτέρας μᾶλλον. Valer. Max. 2, 6, 2: *item ad dissimulandum et occultandum vulnerum suorum cruorem punicis in proelio tunicis utebantur, non ne ipsis aspectus eorum terrorem, sed ne hostibus fiduciae aliquid afferret.*

156. (495)

Harpocr. s. *καὶ γὰρ τὸ μηδένα τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν*: *Ἰσοκράτους ἐν Βουσίριδι* (18) *περὶ Λακεδαιμονίων ταῦτα λέγοντος ῥητέον ὅτι καὶ οἱ τὰς Λακεδαιμονίων πολιτείας γεγραφότες τὰ ὅμοια εἰρήκασιν· ὁ δὲ Ἀριστοτέλης οὐκ ἐξεῖναί φησιν ἀποδημεῖν τοῖς Λακεδαιμονίοις, ὅπως μὴ ἐθίζωνται ἄλλων νόμων εἶναι φίλοι. τοῦ μέντοι Ἰσοκράτους τοὺς μαχίμους μόνους λέγοντος κωλύεσθαι ἀποδημεῖν οἱ περὶ Ἀριστοτέλην τοὺς πάντας Λακεδαιμονίους φασίν.*

Haec ex commentario quodam (Didymi fort. de quo M. Schmidt, Did. fr. p. 320) in Isocratem excerpta videntur. eadem autem Aristotelica refert Plutarch. inst. Lacon. 19: *ἀποδημεῖν δὲ οὐκ ἐξῆν αὐτοῖς, ἵνα μὴ ξενικῶν ἐθῶν καὶ βίων ἀπαιδεύτων μετάσχωσι.*

157. (496)

Zenob. prov. 2, 24 (eademque brevius Diogen. prov. 2, 36 et Plutarch. prov. 43. cf. Macar. 2, 68) *ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ* (ita Diod., Plut., Olympiod. in Alcib. p. 164 Creuz. cf. Cic. de off. 2, 22 *perituram.* codd. Zen. et ceterorum paroemiogr. *ἕλοι*), *ἄλλο δὲ οὐδέν*: *αὕτη λέλεκται ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν βουλομένων. μετενήνεκται δὲ ἀπὸ χρησμοῦ δοθέντος Λακεδαιμονίοις, ἐν ᾧ ἔχρησε τότε ὁ θεὸς ἀπολεῖσθαι τοὺς Λακεδαιμονίους, ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσι. μέμνηται τοῦ χρησμοῦ Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ.* cf. schol. (codd. Vatic. Ven.) ad Eurip. Androm. 446 (p. 288 Cob.) *ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν* (*Σπάρτης ἔνοικοι … αἰσχροκερδεῖς*): *… ἑξῆς δὲ αὐτοὺς εἴς τε τὰ ἄλλα καὶ φιλοχρηματίαν κακῶς λέγει. καὶ Ἀριστοτέλης δὲ τοῦτο ἱστορεῖ ἐν τῇ τῶν Λακώνων πολιτείᾳ καὶ τὸ ὑπὸ* (*τοῦ*) *θεοῦ αὐτοματισθὲν προστίθησιν ἔπος· ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ* (*ἕλοι* cod. Vat., Ven. om. versum).

Ad Theopompi regis aetatem oraculum refertur a Plutarch. inst. Lac. 41 (*Ἀλκαμένει γὰρ καὶ Θεοπόμπῳ τοῖς βασιλεῦσι χρησμὸς ἐδόθη· ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ*), ad ipsum Lycurgum a Diodoro 7, 14, 5 (exc. Vat.).

158. (497)

Eustath. ad Il. *ι*, 129 (p. 741, 16 Rom.): *ἰστέον δὲ καὶ ὅτι δοκεῖ οὐκ ἀγαθοὺς ἀνθρώπους ἡ Λέσβος ἐνεγκεῖν, ὅθεν καὶ λεσβιάσαι τὸ αἰσχρῶς μολῦναι τὸ στόμα* (cf. Phot. p. 216, 1) *κατὰ Αἴλιον Διονύσιον* (= Prov. Bodlej. et Vat. in ed. Paroemiogr. Gott. I p. 118), *ὅς καὶ τὸν τῆς παροιμίας Λέσβιον ᾠδὸν τὸν Τέρπανδρόν φησι ἢ Εὐαινετίδην ἢ Ἀριστοκλείδην. καὶ Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ τὸ μετὰ Λέσβιον ᾠδὸν τὸν Τέρπανδρόν φησι δηλοῦν. ἐκαλοῦντο δέ, φασί* (*φησί?* Müll.), *καὶ ὕστερον εἰς τὴν ἐκείνου τιμὴν πρῶτον μὲν ἀπόγονοι αὐτοῦ, εἶτα εἴ τις ἄλλος παρείη Λέσβιος, εἶθ' οὕτως οἱ λοιποὶ μετὰ Λέσβιον ᾠδόν, τὸν ἁπλῶς δηλαδὴ Λέσβιον. χρῆσις δὲ τοῦ ὡς ἐρρέθη λεσβιάζειν καὶ παρὰ τῷ κωμικῷ.*

Cf. Zenob. prov. 5, 9 (= Plutarch. prov. 110 p. 337 ed. Gott. et gloss. alt. Suid. s. v. M. Apostol. prov. XI, 27 p. 522, 15—20) *μετὰ Λέσβιον ᾠδόν: παροιμία ταττομένη ἐπὶ τῶν* (*τοῖς* codd.) *τὰ δεύτερα φερομένων* (eadem explicatio apud Diogen. prov. 6, 36) *ἐξ αἰτίας τοιᾶσδε· Λακεδαιμόνιοι στασιάζοντες μετεπέμψαντο κατὰ χρησμὸν τοῦ θεοῦ ἐκ Λέσβου τὸν μουσικὸν Τέρπανδρον· ἐλθὼν δὲ ἐκεῖνος καὶ τῇ μουσικῇ χρώμενος ἥρμοσεν αὐτῶν τὰς ψυχὰς καὶ τὴν στάσιν ἔπαυσεν. εἴποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινὸς ἤκουον οἱ Λακεδαιμόνιοι, ἐπεφώνουν μετὰ Λέσβιον ᾠδόν. μέμνηται τῆς παροιμίας ταύτης Κρατῖνος ἐν Χείρωσι.* quae (ante *εἴποτε οὖν* etc.) augenda sunt ex Hesychii loco mutilato (quem ex Aelio Dionysio corrigas) s. *μετὰ Λέσβιον ᾠδόν: τοὺς ἀπογόνους τοῦ Τερπάνδρου ἀγαθοὺς ἡγουμένους εἶναι κιθαρῳδούς, πρώτους εἰς τὸν ἀγῶνα προσκαλεῖσθαι εἴ τις εἴη Λέσβιος ᾠδός.* quae quum eodem fere modo legantur et in variis illis quae feruntur Zenobii recensionibus (cod. Bodl. Vatic., v. Schneidewin praef. ad Paroemiogr. p. XXX) et ex Aelii Dionysii lexico apud Eustathium, communem fontem ostendunt Didymum qui Aristotelem citaverat. ex eodem Didymi loco derivata atque affinis etiam et Hesychio et Zenobio Photii glossa est (quae eadem ex eodem lex. rhet. hausta apponitur a Suida et a Mich. Apostolio p. 522, 9—15) s. *μετὰ Λέσβιον ᾠδόν: παρὰ Κρατίνῳ παροιμία λεγομένη ἐπὶ τῶν τὰ δεύτερα φερομένων· οἱ γὰρ Λακεδαιμόνιοι τοὺς Λεσβίους κιθαρῳδοὺς πρώτους προσεκαλοῦντο. ἀκαταστατούσης γάρ ποτε τῆς πόλεως αὐτῶν χρησμὸς ἐγένετο τὸν Λέσβιον ᾠδὸν μεταπέμπεσθαι· οἱ δ' ἐξ Ἀντίσσης* (cf. Hesych. s. *Λέσβιος ᾠδός*) *Τέρπανδρον ἐφ' αἵματι φεύγοντα μεταπεμψάμενοι ἤκουον αὐτοῦ* (*αὐτῶν* Phot.) *ἐν τοῖς συσσιτίοις καὶ κατεστάλησαν.* eandem rem (ex Aristotele) commemoraverat etiam Heraclides in rep. Laced., ut docent exc. p. 7, 5: *Λακε-*

δαιμόνιοι τὸν Λέσβιον ᾠδὸν ἐτίμησαν (cf. Ael. Dion., prov. Bodl. *διὰ πολλῆς ἄγοντες τιμῆς*)· *τούτου γὰρ ἀκούειν ὁ θεὸς χρησμῳδουμένοις ἐκέλευσεν* (cf. Phot.).

Λευκαδίων.

159. (498)

Strabo VII p. 322 in.: *ἐν δὲ τῇ Λευκαδίων* (*πολιτείᾳ Ἀριστοτέλης*) *καὶ αὐτόχθονά τινα Λέλεγα ὀνομάζει, τούτου δὲ θυγατριδοῦν Τηλεβόαν, τοῦ δὲ παῖδας δύο καὶ εἴκοσι Τηλεβόας, ὧν τινὰς οἰκῆσαι τὴν Λευκάδα.*

Cf. Aetolor. polit. fr.

Λοκρῶν.

160. (499)

Polyb. exc. l. XII, 5: *οὐκ ὤκνησα καὶ λέγειν καὶ γράφειν ὅτι τὴν ὑπ' Ἀριστοτέλους παραδιδομένην ἱστορίαν περὶ τῆς ἀποικίας ἀληθινωτέραν εἶναι συμβαίνει τῆς ὑπὸ Τιμαίου λεγομένης. σύνοιδα γὰρ τοῖς ἀνθρώποις ὁμολογοῦσιν ὅτι παραδόσιμος αὐτοῖς ἐστὶν αὕτη περὶ τῆς ἀποικίας ἡ φήμη παρὰ πατέρων, ἣν Ἀριστοτέλης εἴρηκεν, οὐ Τίμαιος. καὶ τούτων γε τοιαύτας ἔφερον ἀποδείξεις. πρῶτον μὲν ὅτι πάντα τὰ διὰ προγόνων ἔνδοξα παρ' αὐτοῖς ἀπὸ τῶν γυναικῶν, οὐκ ἀπὸ τῶν ἀνδρῶν εἴη* ... idem c. 6: *ἐκ τούτων ἄν τις συλλογιζόμενος Ἀριστοτέλει πρόσσχοι μᾶλλον ἢ Τιμαίῳ. καὶ μὴν τὸ συνεχὲς τούτῳ τελέως ἄτοπον. τὸ γὰρ ὑπολαμβάνειν, καθάπερ ἐκεῖνος ὑποδείκνυσιν, ὡς οὐκ εἰκὸς ἦν τοὺς οἰκέτας τῶν Λακεδαιμονίοις συμμαχησάντων τὴν τῶν κυρίων εὔνοιαν ἀναφέρειν πρὸς τοὺς ἐκείνων φίλους εὔηθες ... διὸ καὶ τὴν ὀνομασίαν* (Locrorum scil.) *τῇ πόλει τὴν ἀπὸ τῶν γυναικῶν εἰκότως ἐπέθεσαν καὶ τὴν οἰκειότητα τὴν κατὰ τὰς γυναῖκας προσεποιήθησαν, ἔτι δὲ τὰς φιλίας καὶ τὰς συμμαχίας τὰς προγονικὰς τὰς ἀπὸ τῶν γυναικῶν ἀνενεοῦντο ... ἀλλὰ πῶς αὐτοὶ μὲν ἐξαπέστελλον οἱ Λακεδαιμόνιοι τοὺς ἀκμάζοντας εἰς τὴν πατρίδα τεκνοποιίας χάριν* (Partheniarum patres dicit, de quibus cum Polybianis plane consona tradunt Iustinus III, 4 et Strabo VI p. 279 ex Ephoro, cf. Serv. ad Virg. Aen. 3, 551. Eust. ad Dion. 377), *τοὺς δὲ Λοκροὺς τὸ παραπλήσιον οὐκ εἴων ποιεῖν; ἕκαστα δὲ ταῦτα οὐ μόνον κατὰ τὸ πιθανὸν ἀλλὰ καὶ κατὰ τὴν ἀλήθειαν μεγάλην ἔχει διαφοράν ... διόπερ οἱ Λοκροὶ μήτε ταῖς ἀραῖς ὄντες ἔνοχοι μήτε τοῖς ὅρκοις οἷς ὤμοσαν οἱ Λακεδαιμόνιοι μὴ πρότερον εἰς τὴν οἰκείαν ἐπανήξειν πρὶν ἢ τὴν Μεσσήνην κατὰ κράτος ἑλεῖν* (eadem Ephori verba sunt apud Strabonem l. c.).

τῆς μὲν κατὰ τὸ κοινὸν ἐξαποστολῆς εὐκόλως οὐ μετέσχον, κατὰ δὲ μέρος τὰς ἐπανόδους ποιούμενοι καὶ σπανίως, ἔδοσαν ἀναστροφὴν ταῖς γυναιξὶ πρὸς οἰκέτας γενέσθαι συνήθειαν ἢ πρὸς τοὺς ἐξ ἀρχῆς ἄνδρας, ταῖς δὲ παρθένοις καὶ μᾶλλον· ὃ καὶ τῆς ἐξαναστάσεως αἴτιον γέγονεν. deinde c. 8: *ἢ δεικτέον οὖν τὸν Ἀριστοτέλη κατὰ τὸν ἄρτι λόγον* (ipsam enim Aristotelis *περὶ τῶν Λοκρῶν ἐξήγησιν* e Timaeo, ut videtur, apposuerat Polybius, quam tamen omisit excerptor) *τὰ περὶ Λοκρῶν εἰρηκότα χάριτος ἢ κέρδους ἢ διαφορᾶς ἕνεκεν, ἢ μηδὲ τολμῶντας τοῦτο λέγειν, ὁμολογητέον ἀγνοεῖν καὶ παραπαίειν τοὺς τοιαύτῃ χρωμένους ἀπεχθείᾳ καὶ πικρίᾳ κατὰ τῶν πέλας, οἵᾳ κέχρηται Τίμαιος κατὰ Ἀριστοτέλους. φησὶ γὰρ αὐτὸν εἶναι θρασὺν εὐχερῆ προπετῆ, πρὸς δὲ τούτοις κατατετολμηκέναι τῆς τῶν Λοκρῶν πόλεως εἰπόντα τὴν ἀποικίαν αὐτῶν εἶναι δραπετῶν [οἰκετῶν], μοιχῶν, ἀνδραποδιστῶν.* cf. c. 11: *μεταβὰς ἐπὶ τοὺς ἐν Ἰταλίᾳ Λοκροὺς πρῶτον μέν φησι* (Timaeus scil.) *τήν τε πολιτείαν καὶ τὰ λοιπὰ φιλάνθρωπα τοῖς Λοκροῖς ἀμφοτέροις Ἀριστοτέλη καὶ Θεόφραστον* (de quo consentiente cf. etiam p. 747, 4) *κατεψεῦσθαι τῆς πόλεως.* ex eodem denique Polybii libro duodecimo (quem ipsum citat p. 272) Timaeique contra Aristotelem disputatione haec affert Athenaeus VI p. 264: *καθόλου δὲ* (inquit Timaeus) *ᾐτιῶντο* (scil. Locrenses, quorum testimonium memoriamque et ipse Timaeus invocaverat, cf. Polyb. p. 734, 5. 735, 10 Bekk.) *τὸν Ἀριστοτέλη διημαρτηκέναι τῶν Λοκρικῶν ἐθῶν. οὐδὲ γὰρ κεκτῆσθαι νόμον εἶναι τοῖς Λοκροῖς, ὁμοίως δὲ οὐδὲ Φωκεῦσιν, οὔτε θεραπαίνας οὔτε οἰκέτας πλὴν ἐγγὺς τῶν χρόνων.*

Similem igitur fabulam atque eam novimus quae de Tarenti conditoribus Partheniis ferebatur, de Locrensium in Italia origine ab Aristotele narratam fuisse videmus. quas quum inter se compararet Polybius, ita fere loquitur ut ipsius belli Messeniaci socios fuisse Lacedaemoniis Locrenses credas. certe antiquam fuisse utriusque urbis societatem e Iustino (XX, 2) constat. eandem autem coloniae originem a Locrensibus in Zephyrium promontorium deductae regionemque a Siculis tunc occupatam tangit Dionysius perieg. v. 365: *κεῖθεν δ' ἐς βορέην Ζεφύρου παραφαίνεται ἄκρη. τῇ δ' ὕπο Λοκροὶ ἕασιν, ὅσοι προτέροις ἐτέεσσιν ἦλθον ἐπ' Αὐσονίην σφετέρῃς μιχθέντες ἀνάσσαις.* quos versus ita exponit Eustath. (p. 175 Ox. cf. paraphr. p. 34): *ἰστέον δὲ ὅτι ἡ διαβολὴ τοῦ γένους τῶν τοιούτων ἐνταῦθα κεῖται, Λοκρῶν ἔθνους ὅλου ὡς ἐκ δούλων καταγομένου. δοῦλοι γάρ φησιν ὄντες προτέροις ἔτεσιν παρὰ τοῖς Ὀζόλαις δηλαδὴ Λοκροῖς* (de Opuntiis, non de Ozolis, cum Ephoro, de quo testatur Strabo

VI p. 259, Aristotelem narrasse ipsorum Locrorum consentiente memoria probatur apud Polybium p. 730, 4—11) *τοῖς πρὸς τῷ Κρισσαίῳ κόλπῳ τῷ κατὰ τὴν Εὔβοιαν* (!), *εἶτα τῶν δεσποτῶν ἀπιόντων εἰς πόλεμον ἐμίγησαν ταῖς σφετέραις ἀνάσσαις· ἐπανελθόντας δὲ τοὺς δεσπότας ὑποπτεύσαντες ἐπὶ κολάσει ταῖς δεσποίναις συνέφυγον καὶ ᾤκησαν ἐν Τυρρηνίᾳ* (?), *ὧν γένος εἰσὶν οἱ Ἐπιζεφύριοι Λοκροὶ δοῦλοι ὄντες τὸ ἀνέκαθεν.*

161. (500)

Schol. in Pindar. Olymp. XI, 17 (p. 241 Boeckh) *νέμει γὰρ ἀτρέκεια πόλιν* (al. l. *ἁ τραχεῖα πόλις*, de qua cf. Didym. p. 242) *Λοκρῶν . . . ὃ βούλεται λέγειν ἐστὶ τοιοῦτον· καίπερ τραχεῖα οὖσα εὐνομεῖται. διὰ τί δέ, φησὶν Ἀριστοτέλης. ἐπειδὴ γὰρ ἐχρῶντο τῷ θεῷ πῶς ἂν πολλῆς ταραχῆς ἀπαλλαγεῖεν, ἐξέπεσεν αὐτοῖς χρησμός, ἑαυτοῖς νόμους τίθεσθαι, ὅτε καί τις ποιμήν, ὄνομα δ' ἦν Ζάλευκος, πολλοὺς νόμους δυνηθείη τοῖς πολίταις εἰσενεγκεῖν δοκίμους· γνωσθεὶς δὲ καὶ ἐρωτηθεὶς πόθεν εὕροι, ἔφησεν ἐνύπνιον αὐτῷ τὴν Ἀθηνᾶν παρίστασθαι· διὸ αὐτός τε ἠλευθέρωται καὶ νομοθέτης κατέστη.*

Haec in Locrorum republica Didymum legisse docet Clemens Alex. strom. I p. 152 Sylb. qui de legibus e paganorum quoque opinione divinitus acceptis loquens, postquam Minoem (cf. Schneidewin ad Heracl. p. 55) memoravit et Lycurgum (v. fr. 148), haec addit: *Χαμαιλέων τε ὁ Ἡρακλεώτης ἐν τῷ περὶ μέθης καὶ Ἀριστοτέλης ἐν τῇ Λοκρῶν πολιτείᾳ Ζάλευκον τὸν Λοκρὸν παρὰ τῆς Ἀθηνᾶς τοὺς νόμους λαμβάνειν ἀπομνημονεύουσιν.* rem tangit etiam Plutarchus, de sui laude c. 11.

(*Λυδῶν.*)

162. (501)

Plin. VII s. 57 (ex Varrone eiusque fonte Philostephano *περὶ εὑρημάτων*, cf. ad Chalcedon. pol.): *aes conflare et temperare Aristoteles Lydum Scythen monstrasse, Theophrastus Delan Phrygem putant. aerariam fabricam alii Chalybas, alii Cyclopas. ferrum Hesiodus* (ut Phoronidis poeta apud schol. Apoll. Rh. I, 1129) *in Creta eos qui vocati sunt Dactyli Idaei. argentum invenit Erichthonius Atheniensis, ut alii, Aeacus. auri metalla et conflaturam Cadmus Phoenix ad Pangaeum montem, ut alii, Thoas* etc.

Ex eodem fonte, singulis tamen negligenter confusis, Clemens Alex. strom. I p. 132: *Κέλμις τε αὖ καὶ Δαμναμενεὺς* (quibus addendus *Ἄκμων*) *οἱ τῶν Ἰδαίων Δάκτυλοι πρῶτοι σίδηρον εὗρον ἐν Κύπρῳ* (immo *ἐν Κρήτῃ*), *Δέλας δὲ ἄλλος Ἰδαῖος εὗρε χαλκοῦ κρᾶσιν, ὡς δὲ*

Ἡσίοδος (immo *Ἀριστοτέλης*, ut Plinius) *Σκύθης ... Κάδμος δὲ ὁ Φοῖνιξ* (cf. fr. 117) *λιθοτομίαν ἐξεῦρε καὶ μέταλλα χρυσοῦ τὰ περὶ τὸ Πάγγαιον ἐπενόησεν ὄρος.*

163. (502)

Stephan. Byz. ep. s. *Ἀδραμύτειον: πόλις τῆς κατὰ Κάικον Μυσίας* (a Lydis condita sec. Strab. XIII p. 613 fin.) ... *κέκληται ἀπὸ Ἀδραμύτου κτιστοῦ* (Lydorum regis, de quo Pseudo-Xanthus apud Athen. XII p. 515ᵉ. cf. schol. Il. ζ, 396), *παιδὸς μὲν Ἀλυάττου* (Sadyattis sec. Nicol. Dam. fr. 63 Müll.), *Κροίσου δὲ ἀδελφοῦ, ὡς Ἀριστοτέλης ἐν πολιτείαις καὶ ἄλλοι. τινὲς δὲ ἀπὸ Ἕρμωνος τοῦ Λυδῶν βασιλέως· τὸν γὰρ Ἕρμωνα Λυδοὶ Ἄδραμυν καλοῦσι Φρυγιστί.* quae ultima ex eodem fonte accepta servavit etiam Hesych. s. *Ἄδραμυς* (cod. *Ἀδραμών*): *ὁ Ἕρμων παρὰ Λυδοῖς. καὶ Ἀδραμύτιον Ἕρμωνος.*

Λυκίων.

Fragmenta legebantur in Sopatri eclogis (Phot. bibl. cod. 161). cf. ad Achaeor. remp.

Μασσαλιωτῶν.

164. (503)

Athenaeus XIII p. 576: *τὸ ὅμοιον* (Zariadris historiae) *ἱστορεῖ γενέσθαι καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ γράφων οὕτως· «Φωκαεῖς οἱ ἐν Ἰωνίᾳ ἐμπορίᾳ χρώμενοι ἔκτισαν Μασσαλίαν. Εὔξενος δ' ὁ Φωκαεὺς Νάνῳ τῷ βασιλεῖ, τοῦτο δ' ἦν αὐτῷ ὄνομα, ἦν ξένος. οὗτος ὁ Νάνος ἐπιτελῶν γάμους τῆς θυγατρὸς κατὰ τύχην παραγενόμενον τὸν Εὔξενον παρακέκληκεν ἐπὶ τὴν θοίνην. ὁ δὲ γάμος ἐγίγνετο τόνδε τὸν τρόπον· ἔδει μετὰ τὸ δεῖπνον εἰσελθοῦσαν τὴν παῖδα φιάλην κεκερασμένην ᾧ βούλοιτο δοῦναι τῶν παρόντων μνηστήρων, ᾧ δὲ δοίη τοῦτον εἶναι νυμφίον. ἡ δὲ παῖς εἰσελθοῦσα δίδωσιν εἴτε ἀπὸ τύχης εἴτε καὶ δι' ἄλλην τινὰ αἰτίαν τῷ Εὐξένῳ· ὄνομα δ' ἦν τῇ παιδὶ Πέττα. τούτου δὲ συμπεσόντος καὶ τοῦ πατρὸς ἀξιοῦντος ὡς κατὰ θεὸν γενομένης τῆς δόσεως, ἔλαβεν ὁ Εὔξενος γυναῖκα καὶ συνῴκει μεταθέμενος τοὔνομα Ἀριστοξένην. καὶ ἔστι γένος ἐν Μασσαλίᾳ ἀπὸ τῆς ἀνθρώπου μέχρι νῦν Πρωτιάδαι καλούμενον· Πρῶτος γὰρ ἐγένετο υἱὸς Εὐξένου καὶ τῆς Ἀριστοξένης».*

Alius auctoris ad ipsum Protum conditorem urbis (Plut. Solon. 2) haec transferentis narrationem refert Iustinus 43, 3. Aristotelis autem locum modo adscriptum tangit etiam Harpocration (e quo Phot. et Suidas

ut in cod. E) s. *Μασσαλία*: *Ἰσοκράτης μέν φησιν ἐν Ἀρχιδάμῳ* (84) *ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν εἰς Μασσαλίαν ἀπῴκησαν. ὅτι δὲ πρὸ τούτων τῶν χρόνων ἤδη ὑπὸ Φωκαέων ᾤκιστο ἡ Μασσαλία καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ δηλοῖ.* e quo libro etiam eorum quaedam fluxisse credideris, quae de Massiliensium reipublicae origine atque institutis praebet Strabo IV p. 179.

Μεγαρέων.

165. (504)

Strabo VII p. 322 in.: *ἐν δὲ τῇ Αἰτωλῶν (πολιτείᾳ Ἀριστοτέλης) τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ, κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν· ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων.*

Integrum de Lelegibus Strabonis locum v. sub Aetolorum rep.

Μηλιέων.

166. (505)

Suid. s. *τῶν φιλτάτων τὰ φίλτατα*: *φησὶν Ἀριστοτέλης ἐν τῇ Μηλιέων πολιτείᾳ τοὺς παῖδας γυμνοὺς ἐκφέρειν μέχρις ἐτῶν ις καὶ καταφιλεῖν αὐτοὺς ἐν τοῖς συμποσίοις.*

Proverbium hoc, quod in collectionibus vulgaribus omittitur, servatum est in proverbiorum codd. Vatic. et Bodl. (App. ed. Gott. V, 3. cf. cod. Coisl. in not. crit. ad Zen. 3, 2), ubi sic *τῶν φιλτάτων τὰ φίλτατα*: *Μηλίοις ἀνεῖλεν ὁ θεὸς φιλεῖν τῶν φιλτάτων τὰ φίλτατα· μέχρις οὖν ἐτῶν δέκα ἓξ γυμνοὺς περιέφερον τοὺς παῖδας καὶ κατεφίλουν ἐν Ὀλυμπίᾳ.*

167. (506)

Phot. (eademque Suid., item Proverb. Vat. et Bodl. ed. Gott. I p. 310 iterumque om. Ar. nom. Suid. s. *Μηλιακόν*) s. *τὸ Μηλιακὸν πλοῖον*: *τοῦτο ἐπὶ τῶν (παλαιῶν καὶ* add. Suid. s. *Μηλ.*) *ἄγαν ῥεόντων πλοίων ἀπὸ ἱστορίας τινὸς εἴρηται· φησὶ γὰρ Ἀριστοτέλης Ἱππότην εἰς ἀποικίαν στελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι· ἐπειδὴ γὰρ προφασιζόμενοι οἱ μὲν τὰς γυναῖκας αὐτοῖς ἀρρωστεῖν οἱ δὲ τὰ πλοῖα ῥεῖν κατέμενον, κατηράσατο μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτὲ καὶ ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι ἀεί.*

Cf. Diogenian. prov. 8, 31 *τὸ Μηλιακὸν πλοῖον*: *ἐπὶ τῶν ἄγαν ῥεόντων πλοίων. κατηράσαντο γὰρ Λακεδαιμόνιοι* (Hippotae scil. et Maliensium in colonia Cnidum deducenda socii, ut coniicit C. Müller ad Arist. fr. 143) *μηδέποτε στεγνὰ τὰ πλοῖα Μηλιέων γενέσθαι· παραβάται γάρ.*

(*Μ η λ ί ω ν.*)

168. (507)

Plinius n. h. IV s. 23, 70 Sill.: *Melos cum oppido quam Aristides Memblida* (var. lect. v. ap. Sillig. *Byblida* scribendum esse ex Stephano iam vidit Hermol. Barbarus in Castigat. Plinianis ad l. 4 c. 12), ***Aristoteles*** *Zephyriam, Callimachus Mimallida, Heraclides Siphim et Acyton. haec insularum rotundissima est.*

Cf. Steph. Byz. s. *Μῆλος*: *νῆσος μία τῶν Κυκλάδων, ὁμώνυμον ἔχουσα πόλιν. Φοίνικες οὖν οἰκισταὶ πρότερον, ὅθεν καὶ Βυβλὶς* (ita Meineke cum Salmasio. vulgo editur *Βύβλος*, codd. *βύαλος*) *ἐκλήθη ἀπὸ τῶν Βυβλίων Φοινίκων· ἀλλὰ καὶ Ζεφυρία.* de communi utriusque scriptoris fonte v. supra ad fr. Deliorum pol.

(*Μ ι λ η σ ί ω ν.*)

169. (508)

Parthenius erot. c. 14 *περὶ Ἀνθέως. ἱστορεῖ* ***Ἀριστοτέλης*** *καὶ οἱ τὰ Μιλησιακά* (Aristocritus scil. et Hegesippus, quibus usus est Parth. c. 11. 26 et c. 16). — *Ἐκ δὲ Ἁλικαρνασσοῦ παῖς Ἀνθεὺς ἐκ βασιλείου γένους ὡμήρευσε παρὰ Φοβίῳ ἑνὶ τῶν Νηλειδῶν τότε κρατοῦντι Μιλησίων. τούτου Κλεόβοια, ἣν τινες Φιλαίχμην ἐκάλεσαν, τοῦ Φοβίου γυνὴ ἐρασθεῖσα πολλὰ ἐμηχανᾶτο εἰς τὸ προσαγαγέσθαι τὸν παῖδα. ὡς δὲ ἐκεῖνος ἀπεωθεῖτο ποτὲ μὲν φάσκων ὀρρωδεῖν μὴ κατάδηλος γένοιτο, ποτὲ δὲ Δία ξένιον καὶ κοινὴν τράπεζαν προισχόμενος, ἡ Κλεόβοια κακῶς φερομένη ἐν νῷ εἶχε τίσασθαι αὐτὸν ἀνηλεῆ τε καὶ ὑπέραυχον ἀποκαλουμένη. ἔνθα δὴ χρόνου προιόντος τοῦ μὲν ἔρωτος ἀπηλλάχθαι προσεποιήθη, πέρδικα δὲ τιθασὸν εἰς βαθὺ φρέαρ κατασοβήσασα ἐδεῖτο τοῦ Ἀνθέως ὅπως κατελθὼν ἀνέλοιτο αὐτόν· τοῦ δὲ ἑτοίμως ὑπακούσαντος διὰ τὸ μηδὲν ὑφορᾶσθαι, ἡ Κλεόβοια ἐπισείει στιβαρὸν αὐτῷ πέτρον. καὶ ὁ μὲν παραχρῆμα ἐτεθνήκει, ἡ δ' ἄρ' ἐννοηθεῖσα ὡς δεινὸν ἔργον δεδράκοι, καὶ ἄλλως δὲ καομένη σφοδρῷ ἔρωτι τοῦ παιδός, ἀναρτᾷ ἑαυτήν. Φοβίος μέντοι διὰ ταύτην τὴν αἰτίαν ὡς εναγὴς παρεχώρησε Φρυγίῳ τῆς ἀρχῆς· ἔφασαν δέ τινες οὐ πέρδικα, σκεῦος δὲ χρυσοῦν εἰς τὸ φρέαρ βεβλῆσθαι, ὡς καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς μέμνηται ἐν τοῖσδε ἐν Ἀπόλλωνι ...*

170. (509)

Athenaeus (e quo Eustath. in Il. p. 1358) XII p. 523[c]: *Μιλήσιοι δὲ ἕως μὲν οὐκ ἐτρύφων, ἐνίκων Σκύθας, ὥς φησιν Ἔφορος, καὶ τάς τε ἐφ' Ἑλλησπόντῳ πόλεις ἔκτισαν καὶ τὸν Εὔξεινον πόντον κατῴκισαν*

πόλεσι λαμπραῖς καὶ πάντες ἐπὶ τὸν Μίλητον ἔθεον· ὡς δ' ὑπήχθησαν ἡδονῇ καὶ τρυφῇ κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης, καὶ παροιμία τις ἐγεννήθη ἐπ' αὐτῶν Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

Qua occasione vulgatum hoc proverbium natum sit, accuratiora habet Zenob. 5, 80 e Demonis proverbiis sumta, quem citant schol. (Did.) in Aristoph. Plut. 1002. ubi alia quoque de Polycrate explicatio. ceterum cf. not. ed. Gotting. ad Zen., Diogen. 5, 3 et Apost. 13, 85 (quem e Tzetzis comm. ad Aristoph. l. c. sua exscripsisse Thomae Magistri scholium docet in cod. Vind. Gr. phil. 167 f. 44[a]).

Ναξίων.

171. (510)

Athenaeus VIII p. 348[a]: *Ἀριστοτέλης ἐν τῇ Ναξίων πολιτείᾳ περὶ τῆς παροιμίας* (*οὐδεὶς κακὸς μέγας ἰχθύς*, de quo praecedunt Clearchi *περὶ παροιμιῶν* et Theophrasti *περὶ γελοίου* testimonia) *οὕτω γράφει· «τῶν παρὰ Ναξίοις εὐπόρων οἱ μὲν πολλοὶ τὸ ἄστυ ᾤκουν, οἱ δὲ ἄλλοι διεσπαρμένοι κατὰ κώμας. ἐν οὖν δή τινι τῶν κωμῶν, ᾗ ὄνομα ἦν Ληστάδαι, Τελεσταγόρας ᾤκει πλούσιός τε σφόδρα καὶ εὐδοκιμῶν καὶ τιμώμενος παρὰ τῷ δήμῳ τοῖς τ' ἄλλοις ἅπασι καὶ τοῖς καθ' ἡμέραν πεμπομένοις. καὶ ὅτε καταβάντες ἐκ τῆς πόλεως δυσωνοῖντό τι τῶν πωλουμένων, ἔθος ἦν τοῖς πωλοῦσι λέγειν ὅτι μᾶλλον ἂν προέλοιντο Τελεσταγόρᾳ δοῦναι ἢ τοσούτου ἀναδόσθαι. νεανίσκοι οὖν τινὲς ὠνούμενοι μέγαν ἰχθύν, εἰπόντος τοῦ ἁλιέως τὰ αὐτά, λυπηθέντες τῷ πολλάκις ἀκούειν, ὑποπίοντες ἐκώμασαν πρὸς αὐτόν. δεξαμένου δὲ τοῦ Τελεσταγόρου φιλοφρόνως αὐτούς, οἱ νεανίσκοι αὐτόν τε ὕβρισαν καὶ δύο θυγατέρας αὐτοῦ ἐπιγάμους. ἐφ' οἷς ἀγανακτήσαντες οἱ Νάξιοι καὶ τὰ ὅπλα ἀναλαβόντες ἐπῆλθον τοῖς νεανίσκοις· καὶ μεγίστη τότε στάσις ἐγένετο, προστατοῦντος τῶν Ναξίων Λυγδάμιδος, ὃς ἀπὸ ταύτης τῆς στρατηγίας τύραννος ἀνεφάνη τῆς πατρίδος».*

172. (511)

Plutarch. de mul. virtut. c. 17, postquam Naxiorum belli contra Milesios causa explicata, quam ipsam e Theophrasti libro ά (*πολιτικῶν*) *τῶν πρὸς τοὺς καιροὺς* accuratius tradidit Parthenius erot. 18, Polycritae historiam Diognetique Erythraei amorem enarravit ex ipsis, ut ait, Naxiorum scriptoribus (quales praeter Andriscum e quo eiusdem facti diversa narratio extat apud Parthenium novimus Aglaosthenem et Philteam,

v. Fr. hist. t. IV), haec addit: *ὁ δ' Ἀριστοτέλης φησὶν οὐδ' ἁλούσης τῆς Πολυκρίτης, ἄλλως δέ πως ἰδόντα τὸν Διόγνητον ἐρασθῆναι καὶ πάντα διδόναι καὶ ποιεῖν ἕτοιμον εἶναι· τὴν δὲ ὁμολογεῖν ἀφίξεσθαι πρὸς αὐτὸν ἑνὸς μόνου τυχοῦσαν, περὶ οὗ τὸν Διόγνητον, ὥς φησιν ὁ φιλόσοφος, ὅρκον ᾔτησεν. ἐπεὶ δ' ὤμοσεν, ἠξίου τὸ Δήλιον αὐτῇ δοθῆναι· Δήλιον γὰρ ἐκαλεῖτο τὸ χωρίον* (Milesiorum scil. contra Naxios in ipsa insula *ἔρυμα*)· *ἄλλως δ' οὐκ ἂν ἔφη συνελθεῖν. ὁ δὲ καὶ διὰ τὴν ἐπιθυμίαν καὶ διὰ τὸν ὅρκον ἐξέστη καὶ παρέδωκε τῇ Πολυκρίτῃ τὸν τόπον, ἐκείνη δὲ τοῖς πολίταις. ἐκ δὲ τούτου πάλιν εἰς ἴσον καταστάντες ἐφ' οἷς ἠβούλοντο πρὸς τοὺς Μιλησίους διελύθησαν.*

Aristotelis narratio in ipsis fere rebus minoribus quibus distat a vulgari Naxiorum traditione, consentire videtur cum ea quam ex Andrisci Naxiacorum primo sumtam exhibet Parthenius erot. c. 9 (*περὶ Πολυκρίτης. ἡ ἱστορία αὕτη ἐλήφθη ἐκ τῆς ᾱ Ἀνδρίσκου Ναξιακῶν· γράφει περὶ αὐτῆς καὶ Θεόφραστος ἐν τῷ δ̄* [vel *ᾱ*, ut c. 18] *τῶν πρὸς τοὺς καιρούς*), Theophrasto quoque, ut puto, probatam.

Mortem Polycritae ex eodem Aristotelis loco tangit etiam Gellius 3, 15: *Cognito repente insperato gaudio exspirasse animam refert Aristoteles philosophus Polycritam nobilem feminam Naxo insula* (cf. Plut. *αὐτὴ δὲ πρὸς ταῖς πύλαις γενομένη τοὺς πολίτας ἀπαντῶντας αὐτῇ, μετὰ χαρᾶς καὶ στεφάνων ὑποδεχομένους καὶ θαυμάζοντας, οὐκ ἤνεγκε τὸ μέγεθος τῆς χαρᾶς, ἀλλ' ἀπέθανεν αὐτοῦ πεσοῦσα περὶ τὴν πύλην*).

Ὀπουντίων.

Opuntiorum republica auctorem omnium in Graecia Locrorum res comprehendisse et fragmenta (cf. de Amphissa Ozolarum urbe) docent et rei ratio: metropolis enim omnium Opus erat, cf. Strabo IX p. 425. Schol. Pind. Ol. IX, 32. Locrorum autem nomine Itali simpliciter significantur.

173. (512)

Strabo VII p. 321 fin.: *ἐν δὲ τῇ Αἰτωλῶν* (*πολιτείᾳ Ἀριστοτέλης*) *τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ, κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν· ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων.*

Cf. Aetol. pol. fr. et Steph. Byz. s. *Φύσκος* (Hesiod. ap. Strab. p. 322. Dionys. Hal. ant. 1, 17).

174. (513)

Schol. in Pindar. Ol. IX, 86 (*πρὶν Ὀλύμπιος ἀγεμὼν θυγάτρ'*) *ἀπὸ γᾶς Ἐπειῶν* (*Ὀπόεντος ἀναρπάσαις ... ἔνεικε Λοκρῷ*): *Ἐπειῶν τῶν*

Ἠλείων ... Ὀποῦντος ἦν θυγάτηρ (ἡ Πρωτογένεια cf. Boeckh, Explic. Pind. p. 191) Ἠλείων βασιλέως, ἣν Ἀριστοτέλης Καμβύσην (Καβύην Plutarch. qu. Gr. 15) καλεῖ. διὰ τούτων οὖν ὁ Πίνδαρος etc.

De συγγενείᾳ inter Opuntios et Eleos cf. Strabo IX p. 425. de Locri filio Opunte praeter sch. Pind. Ol. 9, 96 et sch. Apoll. Rh. 1, 69 cf. Eustath. in Il. p. 277, 19, qui ex eodem fonte hausta tradit quo Plut. in qu. Gr. 15, Didymo scil. qui eandem narrationem repetiverat in comm. ad Sophoclem, quem citat Athenaeus. Didymi autem narrationem a Plutarcho relatam propter Cabyes nomen a Didymo in comm. Pind. memoratum Aristoteleam credo omnem. est autem haec: Τίς ἡ ξυλίνη κύων παρὰ Λοκροῖς; Φύσκου τοῦ Ἀμφικτύονος υἱὸς ἦν Λοκρός, ἐκ δὲ τούτου καὶ Καβύης Ὀποῦς (vulgo male repetitur Λοκρός). πρὸς ὃν ὁ πατὴρ διενεχθεὶς καὶ συχνοὺς τῶν πολιτῶν ἀναλαβὼν περὶ ἀποικίας ἐμαντεύετο· τοῦ δὲ θεοῦ φήσαντος κτίζειν πόλιν ὅπου περ ἂν τύχῃ δηχθεὶς ὑπὸ κυνὸς ξυλίνης, ὑπερβαίνων εἰς τὴν ἑτέραν θάλασσαν ἐπάτησε κυνόσβατον, ἐνοχληθεὶς δὲ τῇ πληγῇ διέτριψεν ἡμέρας αὐτόθι πλείονας, ἐν αἷς καταμαθὼν τὸ χωρίον ἔκτισε πόλεις Φυσκεῖς καὶ Ὑάνθειαν (corr. Ταντίαν ex Steph. s. Ὕαντες) καὶ τὰς ἄλλας ὅσας οἱ κληθέντες Ὀζόλαι Λοκροὶ κατῴκησαν (sequuntur variae de Ozolarum nomine scriptorum sententiae, Myrsili Lesbii primum, ut docet Antigon. mir. 117 West. cf. Strabo p. 427, deinde aliorum sicut in schol. ad Il. β, 527). iam audias Eustathium (in Il. p. 277): οἱ δὲ παλαιοί (i. e. scholium quoddam in Il. β, 531 nunc perditum. cf. schol. Apoll. l. c.) φασι καὶ ταῦτα (quae eadem verba ex eodem fonte apposuit Eudocia p. 279)· Ἀμφικτύονος καὶ Χθονοπάτρας ἀπόγονος Φύσκος, οὗ Λοκρός, ὧν ἀπὸ μὲν Φύσκου Φύσκοι πρώην, ἀπὸ δὲ Λοκροῦ Λοκροὶ οἱ αὐτοὶ ὠνομάσθησαν· Λοκροῦ δὲ Ὀποῦς, πρὸς ὃν διενεχθεὶς ὁ πατὴρ Λοκρὸς ἐᾷ μὲν ἄρχειν ἐκεῖνον, αὐτὸς δὲ οἰκεῖ τὰ πρὸς ἑσπέραν τοῦ Παρνασσοῦ ἔχων ὑφ᾽ ἑαυτὸν τοὺς ἐκεῖ οἳ Ἑσπέριοί τε καὶ Ὀζόλαι ἐκαλοῦντο etc. cf. Steph. Byz. s. Φύσκος: πόλις Λοκρίδος, ἀπὸ Φύσκου τοῦ Αἰτωλοῦ Ἀμφικτύονος τοῦ Δευκαλίωνος (de Deucalione v. varias veterum narrationes in schol. Pind. Ol. IX) ... λέγεται καὶ ἀρσενικῶς ὁ Φύσκος· «Φύσκος δὲ ἀφ᾽ οὗ οἱ Λέλεγες οἱ νῦν Λοκροί» (quae Aristotelis esse suspicor, cf. supra Strab.). Ῥιανὸς δὲ Φυσκέας αὐτοὺς καλεῖ ... quas Didymeae doctrinae reliquias esse testatur Athen. II p. 70c: Δίδυμος δ᾽ ὁ γραμματικὸς (qui reliquorum quoque apud Athenaeum auctorum locos suppeditavit omnes, Pamphilo scil. et Athenaeo Pamphilus) ἐξηγούμενος παρὰ τῷ Σοφοκλεῖ τὸ κύναρος ἄκανθα: μήποτε φησὶ τὴν κυνόσβατον λέγει διὰ τὸ ἀκανθῶδες καὶ τραχὺ εἶναι τὸ φυτόν· καὶ γὰρ ἡ Πυθία ξυλίνην κύνα

αὐτὸ εἶπε καὶ ὁ Λοκρὸς χρησμὸν λαβὼν ἐκεῖ πόλιν οἰκίζειν, ὅπου ἂν ὑπὸ ξυλίνης κυνὸς δηχθῇ, καταμυχθεὶς τὴν κνήμην ὑπὸ κυνοσβάτου, ἔκτισε τὴν πόλιν. eademque e commentario Sophocleo excerpta in lexico etiam tragico extitisse docet Hesychii consensus, qui ita s. *κύναρος: φυτόν τι καὶ μήποτε ἡ κυνόσβατος διὰ τὸ τραχὺ καὶ ἀκανθῶδες· κύνα γὰρ ξυλίνην τὴν κυνόσβατον ὁ θεὸς* (ita codex *θς*, unde Musurus Athenaei memor, apud quem sequitur Theophrasti testimonium ex hist. pl. 3, 18, male effecit *Θεόφραστος*. cf. Schow, Hes. lex. restit. p. 477, quem suo damno neglexit Maur. Schmidt, Did. fr. p. 88) *λέγει.*

175. (514)

Harpocr. (e quo Suid., ut in cod. E) s. *Ἄμφισσα: πόλις τῆς Λοκρίδος. Ἀριστοτέλης ἐν τῇ Ὀπουντίων πολιτείᾳ οὕτω λέγει· «Ἀνδραίμων* (de quo Paus. 10, 38) *δὲ ἦν οἰκιστής, Ἄμφισσαν δ' ὠνόμασαν διὰ τὸ περιέχεσθαι τὸν τόπον ὄρεσιν».*

176. (515)

Hesych. s. *Ἄσπετος: ὁ Ἀχιλλεὺς ἐν Ἠπείρῳ, ὥς φησιν ὁ Ἀριστοτέλης ἐν Ὀπουντίων πολιτείᾳ.*

Cf. Plutarch. Pyrrh. 1: *ἐκ τούτου δὲ* (scil. inde a Pyrrhidarum in Epiro principatu) *καὶ Ἀχιλλεὺς ἐν Ἠπείρῳ τιμὰς ἰσοθέους ἔσχεν Ἄσπετος ἐπιχωρίῳ φωνῇ προσαγορευόμενος.* de Achille locutus Aristoteles, ut recte notavit C. Müller ad Ar. fr. 121, ob Patroclum Opuntium (de Aspeto cf. L. Dieffenbach, Orig. Europ. Frf. 1861 p. 62. cf. 69).

177. (516)

Choeroboscus ad Theodosii canones t. I p. 75, 23 ed. Gaisford. Ox. 1842 (et in Bekk. Anecd. Gr. p. 1393) *τὰ εἰς δων λήγοντα δισύλλαβα βαρύτονα διὰ τοῦ ω̄ κλίνονται, εἰ μὴ μετοχικὴν κλίσιν ἀναδέχονται, οἷον κώδων . . . τὸ Μέδων, ἔστι δὲ κύριον ὄνομα, ὁ μὲν ποιητὴς Ὅμηρος διὰ τοῦ ντ κλίνει, οἷον Μέδοντος, τῷ λόγῳ τῶν μετοχικῶν, Ἰσαῖος δὲ ὁ ῥήτωρ καὶ Ἀριστοτέλης ἐν Ὀπουντίων πολιτείᾳ Μέδωνος φασὶν ἀναλόγως.*

Medon *Ὀιλῆος νόθος υἱός* (Il. *β*, 727. cf. *ν*, 693), Aeantis frater (*ἐξ Ἀλκιμάχης τῆς Αἰακοῦ* schol. Vict. ad Il. *ν*, 694).

Ὀρχομενίων.

178. (517)

Io. Tzetzes in prolegg. ad comm. in Hesiodi opp. p. 15 (ed. Gaisf. Oxon. 1820): *τὸν παλαιὸν δὲ Ὅμηρον Διονύσιος ὁ κυκλογράφος φησὶν*

ἐπ' ἀμφοτέρων ὑπάρχειν τῶν Θηβαικῶν στρατειῶν καὶ τῆς Ἰλίου ἁλώσεως (*ἐπ' ἀμφοτέρων τῶν στρατειῶν Θηβαικῆς καὶ Τρωικῆς* Tzetz. ad Il. p. 150). *ἐκ τούτου γοῦν λογίζομαι τοῦτον τοῦ Ἡσιόδου εἶναι ῡ ἐτῶν προγενέστερον* (*τοῦτον τὸν Ἡσίοδον ... μεταγενέστερον* codd. vitae Tz. excerptae in scholiorum Procli prolegomenis, praeter cod. Vat., cf. Hes. ed. Goettling 1843 p. LXXXII. Biogr. Gr. ed. Westermann p. 48). *Ἀριστοτέλης γὰρ ὁ φιλόσοφος* (immo Philochorus secundum Anonymi schol. ad opp. v. 268, quo ipso testimonio qui sic ratiocinatur Tzetzes usus est. ita enim illic: *ἰστέον δὲ ὅτι υἱὸς Ἡσιόδου Μνασέας ἐστί· Φιλόχορος δὲ Στησίχορόν φησι τὸν ἀπὸ Κλυμένης, ἄλλοι δὲ Ἀρχιέπην.* ubi vulgo *Ἀρχιέπης* editur, corr. e Tz. ad v. 269. aliter Goettl. praef. ad Hes. p. XX), *μᾶλλον δ' οἶμαι ὁ τοὺς πέπλους συντάξας, ἐν τῇ Ὀρχομενίων πολιτείᾳ Στησίχορον τὸν μελοποιὸν* (*τὸν μελοποιὸν* ex ipsius falsa explicatione addit Tzetzes, ut in schol. ad v. 269 p. 159 ubi exscribit Anonymum: *παῖδα οἱ μὲν Μνασέα, οἱ δὲ Ἀρχιέπην, ἕτεροι δὲ Στησίχορον τὸν μελῳδὸν ἐξεδέξαντο.* idem tamen error iam fuit Hesychii apud Suid. s. *Στησίχορος*: *Εὐφόρβου ἢ Εὐφήμου, ὡς δὲ ἄλλοι Εὐκλείδου ἢ Ὑέτους ἢ Ἡσιόδου.* ubi pro *Ὑέτους* corr. *Εὐέπους*) *εἶναί φησι υἱὸν Ἡσιόδου ἐκ τῆς Κλυμένης* (ita corr. Wyttenbach. e schol. v. 268. codd. *Κτημένης*) *αὐτῷ γεννηθέντα τῆς Ἀμφιφάνους καὶ Γανύκτορος ἀδελφῆς, θυγατρὸς δὲ Φηγέως· ὁ δὲ Στησίχορος οὗτος σύγχρονος ἦν Πυθαγόρᾳ τῷ φιλοσόφῳ καὶ τῷ Ἀκραγαντίνῳ Φαλάριδι· οἱ δὲ Ὁμήρου ῡ ὑστερίζον ἔτεσι, καθά φησι καὶ Ἡρόδοτος* (itaque etiam Hesiodum totidem fere annis Homero recentiorem esse *λογίζεται* Tzetzes. *ὑστερίζοντα* male Goettl. e cod. Vat. Herodoti idem locus II, 53, qui *ὁμοχρόνους* falso dicat Hesiodum et Homerum, a Tzetze etiam ad v. 652 citatur, ad Pythagorae aetatem hic nescio quomodo relatus) ... *τελευτᾷ δὲ Ἡσίοδος ἐν Λοκρίδι τοιουτοτρόπως. μετὰ τὴν νίκην, ἣν αὐτὸν νενικηκέναι φασὶν ἐπὶ τῇ τελευτῇ Ἀμφιδάμαντος* (de qua re ab Aristotele aliena, id quod concedas Plutarchi iudicio ap. Procl. v. 648, cf. Tz. in Il. p. 19, dicitur supra p. 14 ex Cert. Hom. et Hes. p. 315 sqq. Goettl., cf. Philostr. heroic. p. 727), *εἰς Δελφοὺς ἐπορεύθη, καὶ ἐδόθη αὐτῷ οὑτοσὶ ὁ χρησμός·*

> *ὄλβιος οὗτος ἀνήρ, ὃς ἐμὸν δόμον ἀμφιπολεύει,*
> *Ἡσίοδος Μούσῃσι τετιμένος ἀθανάτῃσι·*
> *τοῦ δή τοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς.*
> *ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·*
> *κεῖθι δέ* (ita in Cert., *καὶ γάρ* codd.) *τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.*

ὁ δὲ τὴν ἐν Πελοποννήσῳ Νεμέαν φυγὼν ἐν Οἰνόῃ τῆς Λοκρίδος ὑπὸ Ἀμφιφάνους καὶ Γανύκτορος τῶν Φηγέως παίδων ἀναιρεῖται καὶ ῥίπτεται εἰς τὴν θάλασσαν ὡς φθείρας τὴν ἀδελφὴν ἐκείνων Κλυμένην (codd. *Κτημένην*), *ἐξ ἧς ἐγεννήθη Στησίχορος* (ut supra dictum est). *ἐκαλεῖτο δὲ ἡ Οἰνόη Διὸς Νεμείου ἱερόν. μετὰ δὲ τρίτην ἡμέραν ὑπὸ δελφίνων πρὸς τὸν αἰγιαλὸν ἐξήχθη τὸ σῶμα μεταξὺ Λοκρίδος καὶ Εὐβοίας καὶ ἔθαψαν αὐτὸν Λοκροὶ ἐν Νεμέᾳ τῇ τῆς Οἰνόης. οἱ δὲ φονεῖς αὐτοῦ νηὸς ἐπιβάντες ἐπειρῶντο φυγεῖν, χειμῶνι δὲ διεφθάρησαν* (ut auctor fuit Alcidamas citatus in Certamine Hes. p. 323, e quo libro sua omnia Tzetzes duxisse videtur ad Aristotelis testimonium fragmentumque nihil pertinentia). *Ὀρχομένιοι δὲ ὕστερον κατὰ χρησμὸν ἐνεγκόντες τὰ Ἡσιόδου ὀστᾶ θάπτουσιν ἐν μέσῃ τῇ ἀγορᾷ καὶ ἐπέγραψαν τάδε·*

> *Ἄσκρη μὲν πατρὶς πολυλήιος· ἀλλὰ θανόντος*
> *ὀστέα πληξίππων γῆ Μινύων κατέχει*
> *Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν*
> *ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.*

ἐπέγραψε δὲ καὶ Πίνδαρος·

> *χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας,*
> *Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης.*

hoc solum Pindari epigramma Tzetzes, qui antea Certaminis Hes. verbis usus est, ex alio fonte Aristotelisque testimonio in proverbiorum collectionibus servato addidit. ita enim in Coll. cod. Vat. et Bodl. (App. IV, 92 ed. Gott. I p. 456) s. *τὸ Ἡσιόδειον γῆρας*: *Ἀριστοτέλης ἐν Ὀρχομενίων πολιτείᾳ δὶς τεθάφθαι φησὶ τὸν Ἡσίοδον καὶ ἐπιγράμματος τοῦδε τυχεῖν· «χαῖρε δὶς ἡβήσας ... παρόσον τό τε γῆρας ἀπέβη καὶ δὶς ἐτάφη* (cf. Macar. 8, 49 et Suid. sub eodem lemmate: *ἐπὶ τῶν ὑπεργήρων. φέρεται γὰρ καὶ ἐπίγραμμα Πινδάρου τοιοῦτο· «χαῖρε»* etc.). quod quidem Aristotelis testimonium, qui *τάφον Ἡσιόδου* Orchomenium ubi commemoravit, de poeta bis condito dixerit et epigrammatis, sicut Pausanias (9, 38), Plutarchi Chaeron. in Hesiodum commentario deberi testatur Procl. in opp. v. 631 (p. 298) ita scribens: *ἀοίκητον δὲ αὐτὸ* (scil. *τὴν Ἄσκραν τὸ πολίχνιον*) *ὁ Πλούταρχος ἱστορεῖ καὶ τότε εἶναι, Θεσπιέων ἀνελόντων τοὺς οἰκοῦντας, Ὀρχομενίων δὲ τοὺς σωθέντας δεξαμένων· ὅθεν καὶ τὸν θεὸν Ὀρχομενίοις προστάξαι τὰ Ἡσιόδου λείψανα λαβεῖν καὶ θάψαι παρ' αὐτοῖς, ὡς καὶ Ἀριστοτέλης φησὶ γράφων τὴν Ὀρχομενίων πολιτείαν.* neque adeo a vero aberraverit, qui Certaminis quoque auctori, qui paulo post Hadriani imperium se vixisse ipse fatetur (p. 314, 13 Goettl.), idem praesto fuisse credat Aristotelis te-

stimonium e Plutarcho petitum. sane utrumque epigramma ex Aristotele allatum in proverbiis legisse Tzetzes videtur, qui ex altero potissimum (Ἄσκρη μὲν etc.), quod Chersiae Orchomenio ab Orchomeniis tribuebatur (secundum Callippum Corinthium ἐν τῇ ἐς Ὀρχομενίους συγγραφῇ ap. Paus. 9, 38, 10 cf. 9, 29, 2), concluserit (cf. C. Müller ad fr. 115) Aristotelem non philosophum esse politiarum auctorem — politiarum dico, non enim de una Orchomeniorum loquitur — sed eum qui τοὺς πέπλους composuerit id est epigrammata similis plane argumenti a Porphyrio (Eust. in Il. p. 285), qui de auctore libri dubitaverit, e Peplo tradita (quod idem iudicium prodit, ubi de Samiorum politia loquitur, Tz. in Lycophr. 488). Tzetzes enim quum uberiorem Certaminis narrationem in usum suum convertere mallet, Aristotelis tamen auctoris nomen et ex Procli scholio acciperet et e proverbiis, testem hunc quem bis citari vel male memor credidit vel obiter legens (cf. sch. ad v. 268) in primo statim loco qui revera alienus erat apponendum duxit, alterum verumque locum scribenti obversatum fuisse ipso illo de auctore indicio simul confessus. iam vero omnem illam de morte Hesiodi narrationem quae in Certamine traditur Aristotelis esse e Plutarcho ductam, fidem faciunt ipsa alterius narrationis Plutarcheae verba in Septem sapientum convivio c. 19 adhuc servata. quae eadem fuisse videtur, nisi quod unum in hoc libro fontem sequitur, Aristotelem ut credo, in Certamine autem epitomator cum Aristotelis narratione diversam ex Alcidama quodam de interfectorum exitio famam Eratosthenisque narrationem confundit (a p. 323, 9—19, ita ut v. 20 ad Aristotelem revertat). quod vero in Certamine dicitur mortui corpus in mare deiectum fuisse τὸ μεταξὺ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος, id quum falsum sit (cf. Plut. l. c. c. 19) et reliquae narrationi repugnet, conveniat autem interfectorum in Cretam insulam navigationi de qua testatur Alcidamas, primum quidem auctoris negligentiam prodit diversos auctores a Plutarcho appositos confundentis, deinde Tzetzis fontem, qui eundem errorem repetit ipso Certaminis libro, non autem, quod propter raritatem libri credideris in uno codice Florentino traditi, communi quodam fonte usus. quo magis certum est vitam Hesiodi, quae Procli quoque scholiorum prolegomenis in quibusdam codicibus excerpta subiicitur, ab ipso Tzetze compositam esse neque ex alio commentario, qui Plutarchea reddat Christiani quidem auctoris (ut docet locus p. 6 τοὺς θρυλλουμένους ἐκείνους θεοὺς contemnentis) at longe Tzetzis aetate superioris, ab hoc in sua prolegomena verbotenus pro more scriptorum Byzantinorum translatam fuisse. de qua re iam superest ut paucis dicam commonstremque iudicium illud de politiis ab Aristotele philosopho alienis neque Plutarchi

quadam, qui de Aristotele auctore nunquam dubitat, neque ulla omnino doctiorum hominum auctoritate niti, sed ipsius Tzetzis esse. scholia enim illa vetera sub unius Procli diadochi nomine tradita non Procli sunt omnia, sed veteris quem solum iam Tetzes novit collectoris, qui scholiis e prolixo Procli commentario quo tanquam fundamento usus est excerptis et primo plerumque loco positis alia passim aut voce ἄλλως (i. e. ἄλλου, quae sexcenties inter se mutata vidi in codicibus commentariorum ad Aristotelem miscellorum) signata aut bis interdum lemmate eodem scripto (velut ad v. 631. 713. cf. ad 473 et 475 s. εὐοχθέων et similia) discreta addiderit ex altero commentatore hausta atque vel e tertio quodam subinde aucta (cf. ubi tria eiusdem argumenti scholia diversa componuntur, ad v. 144. 382. 421. 491. 712. 748. 798). et alterum quidem illum commentatorem Procli ubertate patet multo fuisse breviorem et a verbis quoque eius, quem ignorasse videtur, sententiisque liberum et diversum Tzetzique, qui vehementer Proclum solet increpare, fere acceptiorem, auctorum autem testimonia ut recentiorum ferebat (inde a VII. sec.) incuria, adeo negligentem, ut pauca fere vestigia (velut ad 52. 84. 94. 268. 491. 566. 631. 824) relinquat illius eruditionis, qualem Plutarcho saepe citato debet Proclus. Christianum eum fuisse vidit Ranke (l. c. p. 15, e sch. ad v. 169. cf. ad 106). atque eiusdem manifesto commentatoris prooemium etiam brevissimum Procli prooemio, quo ut legenti patet integro scholia vetera incipiunt, et ipsi brevi (quam brevitatem testatur simul et reprehendit Tzetzes) solenni illo ἄλλως interposito subiicitur a verbis incipiens *Μετὰ τὴν ἡρωικὴν γενεαλογίαν* (quibus quasi respondent ultima anonymi verba ad v. 824 *τούτοις δὲ ἐπάγουσι* etc.) usque ad v. *ποίημα εἶναι Μουσῶν*, confusum illud in quibusdam codicibus (cf. Gaisf. p. 3), ut alibi saepe factum est, cum ipso primo ad v. 1 anonymi scholio quod post prolegomena in scholiorum initio ipsis verbis (*Μούσας δὲ ὠνομάσθαι* etc.) repetitur Procli primo scholio, quod e prooemio ducitur, adiectum. iam vero in eisdem codicibus (C et D Gaisfordi i. e. Paris. 2833 et 2763 et P Westermanni i. e. Par. 2778) post prooemia illa duorum veterum commentatorum, Procli et anonymi, inserta leguntur alius praefationis fragmenta maiora (sola haec extant in B i. e. Par. 2708 sec. Gaisf. p. 3 cf. 21) quae Tzetzis vitae ad verbum consentiunt, quibusdam quidem quae eiusdem plane farinae sunt (cf. p. 14 de insomnio Hesiodi et p. 18) superflua tamen videbantur eiectis, eis scilicet verbis quibus singula quaedam prooemii capitula (p. 16. 17. cf. p. 20) discernuntur aliisque quae manifesto Tzetzica sunt neque ex alio fonte a Tzetze plenius exscripto cum ceteris derivari possunt (sicut illa de Cumae urbis

novo nomine quod e Strabone l. XIII p. 582 ductum est et de diversa urbe Italica p. 12, quae a Tzetze etiam ad v. 634 apponuntur. Sotcrichus autem Christianus ὁ χρυσογνώμων eadem voce laudatur qua in prooemii initio quo contra Proclum disputat p. 11 et alibi quoque Tzetzes utitur, velut in Epistolis p. 76 ed. Th. Pressel. Tub. 1851. Tzetzis igitur aequalis est alter ille ὁ νῦν περιιὼν τῆς Νικομηδείας οἰνοπράτης). atque etiam ipsa excerpta illa si sola consideras, non solum Christiani sunt (v. p. 6 τοὺς θρυλλουμένους ἐκείνους θεούς), sed eundem sermonem eiusdemque doctrinae fragmenta gerunt, quibus in aliis quoque libris Tzetzes gaudet: ita Homerus ὁ χρυσοῦς solenni Tzetzis praeconio appellatus (p. 6. cf. Tz. in Il. p. 5. 127. 144 et de aliis similiter Epp. p. 80. 93. 62), ita Orphicorum carminum idem studium (p. 8. cf. 18) quod postea in ipsis scholiis Tzetzicis cernitur sicut in commentario Tzetzis Homerico (v. ind. Bekk.), ita Dionysii cyclographi testimonium idem quod apud Tz. in Il. p. 150, ita de pluribus Homeris iudicium (e Hesychio fortasse ductum quem v. apud Suid. s. v.) idem quod in sch. Tz. ad Hes. v. 236 et in Lycophr. p. 263 ed. Lips. (cf. in Il. p. 19), ita Lucianus denique similiter (ut p. 5) citatus in Il. p. 64. 36. Tzetzes igitur postquam Proclum reiecit (ut priores omnes in prolegg. ad Hom.) praemisitque secundum proprias iusti commentarii prooemiique regulas (v. p. 10) necessariam illam poetarum divisionem ex Isaaci fratris in Lycophr. praefatione breviter repetitam (p. 11. in Lyc. p. 247), de vita poetae agit (οὗτος οὖν ὁ Ἡσίοδος cf. in vita Lyc. p. 263 ὁ Λυκόφρων οὑτοσί), aetate, libris, morte, de inscriptione denique libri praesentis, simili fere ratione qua in praefatione uberiore ad Il. (cf. p. 7. 45), vitam autem ipsam composuit e Plutarchi apud Proclum et Anonymum reliquiis (ita de parentibus eorumque fuga e sch. Pr. ad v. 631 et 638, de filio e sch. Anon. ad v. 268), e Certamine Hesiodi et Homeri (de morte Hesiodi et de ipso illo certamine, de quo eadem licet πάντα ταῦτα ληρώδη λέγων, iudicio a Tzetze in praefationem translato p. 15, cum quo loco cf. etiam Tz. in Il. p. 19, narraverat Plutarchus ad v. 648 cf. Sept. sap. conv. c. 10, sicut de morte ad v. 631), ex aliis denique fontibus quibus in ceteris libris utitur (Archippi quoque mentio, quae eadem apud Tatian. c. Gr. p. 249, aliunde inserta est).

Iam adscribo quam Aristotelica reddere (ea scil. ipsa quae e Plutarchi commentario ad Aristotelem provocantis tangit tantummodo Proclus in sch. ad v. 631) supra conieci narrationem Plutarchi Sept. sap. conv. c. 19: ἀνθρώπινον δὲ καὶ πρὸς ἡμᾶς τὸ τοῦ Ἡσιόδου πάθος· ἀκήκοας γὰρ ἴσως τὸν λόγον. Οὐκ ἔγωγε, εἶπεν. Ἀλλὰ μὴν ἄξιον πυθέσθαι. Μιλησίου γὰρ ὡς ἔοικεν ἀνδρός, ᾧ ξενίας ἐκοινώνει Ἡσίο-

δος καὶ διαίτης ἐν Λοκροῖς, τῇ τοῦ ξένου θυγατρὶ κρύφα συγγενομένου καὶ φωραθέντος, ὑποψίαν ἔσχεν ὡς γνοὺς ἀπ' ἀρχῆς καὶ συνεπικρύψας τὸ ἀδίκημα, μηδενὸς ὢν αἴτιος, ὀργῆς δὲ καιρῷ καὶ διαβολῇ περιπεσὼν ἀδίκως· ἀπέκτειναν γὰρ αὐτὸν οἱ τῆς παιδίσκης ἀδελφοὶ περὶ τὸ Λοκρικὸν Νέμειον ἐνεδρεύσαντες καὶ μετ' αὐτοῦ τὸν ἀκόλουθον ᾧ Τρωΐλος ἦν ὄνομα. τῶν δὲ σωμάτων εἰς τὴν θάλασσαν ὠσθέντων τὸ μὲν τοῦ Τρωΐλου εἰς τὸν Δάφνον ποταμὸν ἔξω (immo *ἔσω*. scilicet eadem nomina redire notum est apud Ozolas quae apud Epicnemidios, velut *Ἀλόπη* utrinque sec. Strab. IX p. 427. ita nunc Daphnus quis Ozolarum cum notiore eo mutari videtur qui Locros Epicnemidios dividebat et Opuntios, ubi *ὁ Δαφνοῦς* oppidum in Phocidis olim litore, cf. Plin. 4, 20. Strabo IX p. 416. 424 fin. 426 in. inde igitur explicandus Alcidamas qui ad Epicnemidios Hesiodi mortem retulisse videtur et Certaminis error qui utramque fabulam miscet) *φερόμενον ἐπεσχέθη περικλύστῳ χοιράδι μικρὸν ὑπὲρ τὴν θάλασσαν ὑπεχούσῃ· καὶ μέχρι νῦν Τρωΐλος ἡ χοιρὰς καλεῖται. τοῦ δὲ Ἡσιόδου τὸν νεκρὸν εὐθὺς ἀπὸ γῆς ὑπολαβοῦσα δελφίνων ἀγέλη πρὸς τὸ Ῥίον ἐκόμιζε καὶ τὴν Μολυκρίαν. ἐτύγχανε δὲ Λοκροῖς ἡ τῶν Ῥίων* (*Ἀριαδνείων*? cf. Cert. p. 323, 7) *καθεστῶσα θυσία καὶ πανήγυρις, ἣν ἄγουσιν ἔτι νῦν περιφανῶς περὶ τὸν τόπον ἐκεῖνον. ὡς δὲ ὤφθη προσφερόμενον τὸ σῶμα, θαυμάσαντες ὡς εἰκὸς ἐπὶ τὴν ἀκτὴν κατέδραμον καὶ γνωρίσαντες ἔτι πρόσφατον νεκρόν, ἅπαντα δεύτερα τοῦ ζητεῖν τὸν φόνον ἐποιοῦντο διὰ τὴν δόξαν τοῦ Ἡσιόδου. καὶ τοῦτο μὲν ταχέως ἔπραξαν εὑρόντες τοὺς φονεῖς· αὐτούς τε γὰρ κατεπόντισαν ζῶντας καὶ τὴν οἰκίαν κατέσκαψαν. ἐτάφη δὲ Ἡσίοδος πρὸς τῷ Νεμείῳ* (prope Naupactum, ut docent Thucyd. 3, 96. 102 et Pausanias 9, 38)· *τὸν δὲ τάφον οἱ πολλοὶ τῶν ξένων οὐκ ἴσασιν, ἀλλ' ἀποκέκρυπται ζητούμενος* (neque frustra, cf. Paus. l. c. quo Plutarchi narratio suppletur) *ὑπ' Ὀρχομενίων, ὥς φασι, βουλομένων κατὰ χρησμὸν ἀνελέσθαι τὰ λείψανα καὶ θάψαι παρ' αὐτοῖς.*

E Plutarcho autem ita Certaminis auctor (e quo Tzetzes) p. 322, 20 Goettl.: *τοῦ δὲ ἀγῶνος διαλυθέντος διέπλευσεν ὁ Ἡσίοδος εἰς Δελφοὺς χρησόμενος καὶ τῆς νίκης ἀπαρχὰς τῷ θεῷ ἀναθήσων. προσερχομένου δὲ αὐτοῦ τῷ ναῷ ἔνθεον γενομένην τὴν προφῆτιν φασιν εἰπεῖν· ὄλβιος οὗτος ἀνὴρ κ. τ. λ. ὁ δὲ Ἡσίοδος ἀκούσας τοῦ χρησμοῦ τῆς Πελοποννήσου μὲν ἀνεχώρει νομίσας τὴν ἐκεῖ Νεμέαν τὸν θεὸν λέγειν, εἰς δὲ Οἰνόην* (*ὁ Οἰνεὼν* vocatur a Thucydide, qui etiam Hesiodi mortem tangit 3, 96) *τῆς Λοκρίδος ἐλθὼν καταλύει παρὰ Ἀμφιφάνει καὶ Γανύκτορι, τοῖς Φηγέως παισίν, ἀγνοήσας τὸ μαντεῖον· ὁ γὰρ τόπος οὗτος ἐκα-*

λεῖτο Διὸς Νεμείου ἱερόν. διατριβῆς δ' αὐτῷ πλείονος γενομένης ἐν τοῖς Οἰνεῶσιν (ed. Οἰνῶσιν), ὑπονοήσαντες οἱ νεανίσκοι τὴν ἀδελφὴν αὐτῶν μοιχεύειν τὸν Ἡσίοδον, ἀποκτείναντες εἰς τὸ μεταξὺ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος πέλαγος κατεπόντισαν. τοῦ δὲ νεκροῦ τριταίου πρὸς τὴν γῆν ὑπὸ δελφίνων προσενεχθέντος, ἑορτῆς τινὸς ἐπιχωρίου παρ' αὐτοῖς οὔσης Ἀριαδνείας, πάντες ἐπὶ τὸν αἰγιαλὸν ἔδραμον καὶ τὸ σῶμα γνωρίσαντες ἐκεῖνο μὲν πενθήσαντες ἔθαψαν, τοὺς δὲ φονεῖς ἀνεζήτουν . . . ὕστερον δὲ Ὀρχομένιοι κατὰ χρησμὸν μετενέγκαντες αὐτὸν παρ' αὐτοῖς ἔθαψαν καὶ ἐπέγραψαν ἐπὶ τῷ τάφῳ· Ἄσκρη μὲν κ. τ. λ.

179. (518)

Pollux X, 165: καὶ ὅταν μὲν ἐν Ἀχαρνεῦσιν (v. 108) εἴπῃ Ἀριστοφάνης ἀχάνας χρυσίου, τὸ ἀγγεῖον ἴσως Περσικόν· ἔνιοι δὲ τὴν θεωρικὴν κίστην οὕτω κεκλῆσθαι νομίζουσιν. ἐν δὲ Ἀριστοτέλους Ὀρχομενίων πολιτείᾳ μέτρον ἐστὶν Ὀρχομένιον τετταράκοντα πέντε (πέντε add. Salmasius) μεδίμνους χωροῦν Ἀττικούς. οἱ δὲ κοιτίδας τὰς Πυθῶδε ἰόντων, ὅτε καὶ τὰ λεβητάρια καλοῦσι ταναγρίδας.

Ex eodem fonte (Didymo scil. et in lexico et in commentario idem apponente) schol. ad Aristoph. Acharn. 108 (e quo Suid. s. ἀχάνη) οὐκ, ἀλλ' ἀχάνας: ἀχάνη μέτρον ἐστὶ Περσικόν, ὥσπερ ἡ ἀρτάβη παρ' Αἰγυπτίοις. ἐχώρει δὲ μεδίμνους Ἀττικοὺς με, ὡς μαρτυρεῖ Ἀριστοτέλης. ἄλλοι δέ (οἱ δέ Suid.) φασιν ὅτι κίστις (κίστη Suid.) ἐστίν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι. quod alterum *aliorum* testimonium Phanodemi fuisse eundem comici versum respiciens docet Hesychii glossa s. ἀχάνας: τινὲς μὲν Περσικὰ μέτρα, Φανόδημος δὲ κίστας, εἰς ἃς κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ θεωρίας ἰόντες, οἱ εἰς θεοὺς στελλόμενοι. cf. idem s. ἀχάνη: μέτρον σίτου ἐν Βοιωτίᾳ χωροῦν μέδιμνον ἕν (corr. μεδίμνους με). Synag. lex. Seg. p. 473, 32 ἀχάνη: μέτρον Βοιώτιον πολλῶν τινῶν μεδίμνων. οὕτως Ἀριστοφάνης (corr. Ἀριστοτέλης).

Παρίων.

De Sopatri excerptis v. Phot. bibl. c. 161.

Πελληνίων.

180. (519)

Harpocr. (e quo Phot. p. 250, 3 et Suid., Ar. nom. om. ut in cod. E) μαστῆρες: Ὑπερίδης ἐν τῷ πρὸς Πάγκαλον. ἔοικεν ἀρχή τις εἶναι

ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ ζητηταὶ καὶ οἱ ἐν Πελλήνῃ (*Πέλλῃ* Suid.) *μαστροί, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνίων* (*Πελληνέων* Vales. quod non necessarium, cf. Steph. B. s. *Πελλήνη*) *πολιτείᾳ.*

Cf. alteram glossam Photii p. 248, 21 (cuius breve quoddam fragmentum etiam in Lex. rhet. Seg. p. 279, 6) s. *μαστῆρες: οἱ τὰ φυγαδευτικὰ χρήματα εἰσπράττοντες, οἱονεὶ ζητηταὶ τῶν φυγαδευτικῶν χρημάτων τῶν ἀειφυγίαν φυγαδευθέντων· ἐκλήθησαν δὲ μαστῆρες ἀπὸ τῶν κυνηγῶν τῶν ἐν τοῖς μαστοῖς τῶν ὀρῶν ζητούντων τὰ θηρία.* Hesych. s. *μαστήρ: ἐρευνητής. μαστῆρες: ζητοῦντες, ἐρευνῶντες.* et s. *μαστροί: παρὰ Ῥοδίοις βουλευτῆρες.*

Dicaearchi quoque extabat *Πελληναίων* (in Achaia) *πολιτεία*, quam tenebat Cicero (ad Att. II, 2).

(*Ῥηγίνων.*)

181. (520)

Pollux 5, 75: *Ἰθάκη δὲ μόνη τῶν νήσων ἄγονός ἐστι λαγώ* (de qua re cf. Xen. cyneg. 5, 24 et Arist. h. a. 8, 28 p. 606, 2, unde Plin. 8, 226). *Καρπάθιοι δὲ πρότερον οὐκ ὄντων ἐν τῇ νήσῳ λαγῶν ζεῦγος εἰσαγαγόμενοι, τὸ μὲν εἰς πλῆθος ἐκ τῆς πολυγονίας ἐπιδιδοῦν ἔφθειρε τοὺς καρπούς, οἱ δὲ παροιμίαν ἐποίησαν ἐπὶ τῶν ἐπισπαστὸν κακὸν ἐφ' ἑαυτοὺς ἐπαγαγόντων «ὁ Καρπάθιος τὸν λαγών»* (cf. Zenob. 4, 48 etc.). *καὶ μὴν Ἀναξίλας ὁ Ῥηγῖνος οὔσης, ὡς Ἀριστοτέλης φησίν, τῆς Σικελίας τέως ἀγόνου λαγῶν, ὁ δὲ εἰσαγαγών τε καὶ θρέψας, ὁμοῦ δὲ καὶ Ὀλύμπια νικήσας* (de qua re Heraclides etiam in Rheginorum pol., v. Exc. p. 21, 15) *ἀπήνῃ, τῷ νομίσματι τῶν Ῥηγίνων ἐνετύπωσεν ἀπήνην καὶ λαγών* (cf. Poll. 9, 84. Boeckh, Metrol. Unters. p. 323).

Ad finem haec posita sunt uberrimae illius leporis descriptionis nominum cynegeticorum occasione illatae, quam qui composuit auctor a Polluce pro more exscriptus, eis quae e Xenophontis cyneget. c. 5 scienter elegerat, praeter alios quos ignoramus Aristotelis passim verba e hist. anim. (Poll. 5, 68. 73. cf. Ar. h. a. 3, 12 p. 519, 20. 6, 33. 3, 21 p. 522ᵇ8) intexuit et Herodoti (Poll. 5, 73. cf. Herod. 3, 108. Xen. 5, 13) ex Archelai (Poll. 5, 73 de corporis cavernis ad excrementa variis. cf. Ael. n. an. 2, 12. Archel. ap. Plin. 8, 218 et ap. Varr. r. r. 3, 12. Clem. Al. paed. II p. 81. unde sequitur Archelai, quem citat l. 2, 7, esse ea etiam quae idem Aelianus affert l. 13, 12. levis enim sophista, qui nihil nisi verborum fallaces illecebras dederit rebus temere compilatis, speciem tamen

quaerit hominis rerum naturae curiosi vanam et quam maxime mendacem, a viris expertis et fide dignis, veluti venatoribus aliisque, pro Aristoteleo more audita se accepisse perhibens quae e scriptoribus antiquis collegit mirabilia atque superstitiosa). quorum nomina, quae pro more solito Pollux omisit, apposuerat ille quem secutus est, apposuitque in eodem argumento Athenaeus, qui de leporis fecunditate Xenophontis et Herodoti et nomina et verba ita coniungit (IX p. 400e), ut ipsa tantum Xenophontis et Aristotelis et Herodoti verba Pollux 5, 73: *καὶ μὴν πολύγονόν ἐστιν* etc. idem de Astypalaea maris Carpathii insula idem fere narrat ex Hegesandro, quod ex alio auctore de Carpatho ipsa legitur apud Pollucem. videtur enim Athenaeus, qui Pamphili lexicon reddere solet, ex eodem loco (s. *λαγώς*, cf. Hes.) sua elegisse, e quo alia Pollux eiusdem illius thesauri copiosissimi amator. ad quem hic quoque rediisse eum suspicor etiam propter Cratini testimonium (5, 68) et propter Homericum illud *πτῶκα λαγωόν* (Il. χ, 310. ρ, 676), quod tangit 5, 72 ut Athen. p. 400d (Eust. p. 1270. 1122) cf. Aristoph. Byz. ap. Ael. 7, 47. cf. 7, 19.

(*Ῥοδίων.*)

182. (521)

Schol. ad Pindar. Olymp. VII inscr. *Διαγόρᾳ Ῥοδίῳ πύκτῃ: νικήσαντι τὴν οθ̄ ὀλυμπιάδα. ταύτην τὴν ᾠδὴν ἀνακεῖσθαί φησι Γόργων ἐν τῷ τῆς Λινδίας Ἀθηνᾶς ἱερῷ χρυσοῖς γράμμασιν. ὁ Διαγόρας οὗτος υἱὸς μὲν ἦν Δαμαγήτου τοῦ Ῥοδίου, ἐνίκησε δὲ καὶ Πύθια καὶ Ἴσθμια. περὶ δὲ τούτου τοῦ Διαγόρου εἶπε μὲν καὶ Ἀριστοτέλης καὶ Ἀπόλλαξ, μαρτυροῦσι δὲ τοιαῦτα· Κατὰ γὰρ τὴν Ὀλυμπίαν ἕστηκεν ὁ Διαγόρας μετὰ τὴν Λυσάνδρου εἰκόνα, πηχῶν τεσσάρων δακτύλων πέντε, τὴν δεξιὰν ἀνατείνων χεῖρα, τὴν δὲ ἀριστερὰν εἰς ἑαυτὸν ἐπικλίνων. μετὰ δὲ τοῦτον ἵσταται καὶ ὁ Δαμάγητος ὁ πρεσβύτατος τῶν παίδων αὐτοῦ, ὃς ἦν καὶ ὁμώνυμος τῷ πάππῳ, παγκράτιον προβεβλημένος, καὶ αὐτὸς πηχῶν τεσσάρων, ἐλάττων δὲ τοῦ πατρὸς δακτύλων πέντε.*[1]) *ἐχόμενος δὲ τούτου ἕστηκε Δωριεὺς*[2]) *ἀδελφός, πύκτης καὶ αὐτὸς προβεβλημένος. τρίτος δὲ μετ' ἐκεῖνον Ἀκουσίλαος, τῇ μὲν ἀριστερᾷ ἱμάντα ἔχων πυκτικόν, τὴν δὲ δεξιὰν ὥσπερ πρὸς εὐχὴν*[3]) *ἀνατείνων. καὶ οὗτοι μὲν οἱ τοῦ νικηφόρου παῖδες ἐν στήλαις ἵστανται σὺν τῷ πατρί, μετ' ἐκείνους δὲ καὶ θυγατέρων αὐτοῦ νικηφόροι υἱοὶ δύο, Εὐκλῆς*[4]) *πυγμῇ νικήσας ἀνδρῶν*[5]) *καὶ μετ' ἐκεῖνον Πεισίρροδος.*[6]) *καὶ λέγεται*[7]) *κατὰ τὴν Ὀλυμπίαν νικήσαντας τοὺς παῖδας κατὰ τὴν αὐτὴν ἡμέραν τῷ πατρί, περιλαβόντας*[8]) *σὺν τὸν*

Διαγόραν περιμέναι τὸ στάδιον μακαριζομένους ὑπὸ τῶν Ἑλλήνων. χρόνῳ δὲ ὕστερόν φασι καὶ τὴν τούτου θυγατέρα Καλλιπάτειραν[9]) *ἐλθεῖν εἰς τὴν Ὀλυμπίαν καὶ αἰτεῖν παρὰ τῶν ἑλλανοδικῶν ἐπιτρέψαι τὴν θέαν αὐτῇ, τοὺς δὲ κωλύειν φάσκοντας κατὰ νόμον γυναῖκα μὴ θεωρεῖν τὸν γυμνικὸν ἀγῶνα· τὴν δὲ φῆσαι πρὸς αὐτοὺς οὐχ ὁμοίαν*[10]) *εἶναι ταῖς ἄλλαις γυναιξὶν ἀλλὰ φέρειν πλέον τι ταῖς προγονικαῖς ἀρεταῖς ἐπερειδομένην· ἔσχε γὰρ καὶ τὸν πατέρα καὶ τοὺς τρεῖς ἀδελφοὺς ὀλυμπιονίκας Δαμάγητον Δωριέα Ἀκουσίλαον καὶ ἐξ ἀδελφῆς παῖδα Εὐκλέα καὶ αὐτῆς υἱὸν Πεισίρροδον.*[11]) *καὶ δεῖξαι τάς τε τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν στήλας καὶ οὕτω νικηθέντας τοὺς ἑλλανοδίκας ἐπιχωρῆσαι*[12]) *καὶ συνήθειαν νόμου διαλῦσαι καὶ τῇ Καλλιπατείρᾳ τὴν θέαν ἐπιτρέψαι. καὶ τὰ μὲν περὶ αὐτῶν τοσαῦτα. ἱστόρηται δὲ ὁ Διαγόρας Ἑρμοῦ παῖς γεγενῆσθαι· φασὶ γὰρ αὐτοῦ τὴν μητέρα εἰς ἀγρόν που πορευομένην, εἶτα καύματος σφοδροῦ ἐπισχόντος ἐπικλιθῆναί τινι Ἑρμαίῳ τεμένει καὶ οὕτω τὸν θεὸν αὐτῇ συνελθεῖν, τὸν δὲ Διαγόραν οὕτω τεκεῖν αὐτήν, ὃς πρῶτος ἀφ' Ἡρακλέους λέγεται τοιοῦτος γενέσθαι*[13]). *ἀφ' οὗ γὰρ Ἡρακλῆς συνέθηκε τὸν ἀγῶνα μηδενί πω τοιαῦτα συμβῆναι ὥστε καὶ τὸν πατέρα καὶ τοὺς υἱοὺς ὀλυμπιονίκας γενέσθαι.* cf. Paus. 6, 7. Gell. 3, 15.

22. διαίρεσις τῆς τῶν ὄντων ὀνομασίας εἰς πέντε γίνεται· ἔστι γὰρ αὐτῶν λεγόμενα τὰ μὲν ὥσπερ ἓν πρὸς πολλά, τὰ δὲ ὡς πολλὰ πρὸς πολλὰ καὶ πρὸς ἕν, τὰ δὲ ὡς ἀνόμοια ὡς πρὸς ὅμοια, τὰ δὲ ὡς ὅμοια πρὸς ὅμοια, τὰ δὲ ὡς ἓν πρὸς ἕν. τὰ μὲν οὖν ὡς ἓν πρὸς πολλὰ οἷον τάχιστος καὶ μέγιστος καὶ κάλλιστος καὶ τὰ τοιαῦτα, τὰ δὲ ὡς πολλὰ πρὸς πολλὰ καὶ πρὸς ἓν οἷον πλείω τάδε τῶνδε καὶ μείζω τάδε τῶνδε καὶ καλλίους οἵδε τῶνδε καὶ τὰ ἄλλα τὰ τοιαῦτα, τὰ δὲ ὡς ἀνόμοια ὡς πρὸς ὅμοια [. . ., τὰ δὲ ὡς ὅμοια πρὸς ὅμοια] οἷον ἀδελφοὶ πρὸς ἀδελφοὺς καὶ φίλοι πρὸς φίλους καὶ τὰ τοιαῦτα, τὰ δὲ ὡς ἓν πρὸς ἓν οἷον καλλίων ὅδε τοῦδε καὶ θάσσων ὅδε τοῦδε καὶ τὰ τοιαῦτα: —

(D. L. 27) 23. διαιρεῖται τὰ ἐναντία εἰς τρία· ἔστι γὰρ αὐτῶν τὸ μὲν ὡς ἀγαθὸν κακῷ οἷον ὑγεία νόσῳ καὶ κάλλος αἴσχει καὶ τὰ τοιαῦτα, τὸ δὲ ὡς οὐδέτερον οὐδετέρῳ οἷον λευκότης μελανότητι καὶ κουφότης βαρύτητι καὶ τὰ τοιαῦτα, τὸ δὲ ὡς φευκτὸν φευκτῷ οἷον ἀσωτία ἀνελευθερίᾳ καὶ θερμότης ψυχρότητι καὶ ἰσχνότης παχύτητι καὶ τὰ τοιαῦτα: —

(D. L. 30) 24. διαιρεῖται ἡ φωνὴ εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἡ μὲν ἔμψυχος, ἡ δὲ ἄψυχος, καὶ ἡ μὲν καὶ ἐγγράμματος, ἡ δὲ ἀγράμματος. ἔστι δὲ ἡ μὲν ἔμψυχος ἡ τῶν ζώων, ἡ δὲ ἄψυχος οἷον ἦχοι καὶ ψόφοι καὶ ἡ τῆς λύρας καὶ τῶν ἄλλων φωνή· καὶ ἐγγράμματος μὲν ἡ τῶν ἀνθρώπων φωνὴ καὶ ζώων τινῶν οἷον ἀηδόνων χελιδόνων στρουθίων καὶ τῶν τοιούτων, ἀγράμματος δὲ ἡ ἀδιάθετος ὡς οἱ ποππυσμοὶ καὶ ἦχοι καὶ ψόφοι καὶ τὰ τοιαῦτα: —

25. διαιρεῖται τὰ ὄντα εἰς τρία· ἔστι γὰρ αὐτῶν τὰ μὲν κατ' οὐσίαν, τὰ δὲ κατὰ συμβεβηκός, τὰ δὲ κατὰ πάθος. ἔστι δὲ τὰ μὲν κατ' οὐσίαν οἷον τὸ εἶναι ἄνθρωπον καὶ τὸ ἕκαστον τῶν ὄντων εἶναι, τὸ δὲ κατὰ συμβεβηκὸς τὸ τρέχειν καὶ καθεύδειν καὶ ἄλλα τοιαῦτα, τὸ δὲ κατὰ πάθος οἷον τὸ ἥδεσθαι καὶ λυπεῖσθαι καὶ θαρρεῖν καὶ φοβεῖσθαι καὶ τὰ τοιαῦτα.

(D. L. 31) 26. ἔτι τῶν ὄντων τὰ μὲν [ἐστι μεριστά, τὰ δὲ ἀμερῆ, καὶ τῶν μεριστῶν τὰ μὲν] ἐστιν ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ. ἔστι δὲ τὰ μὲν

---

5) γὰρ αὐτῶν: γὰρ αὐτῆς cod. — 10) cod. τὰ δὲ ὡς ἀνόμοια ὡς πρὸς ὅμοια οἷον ἀδελφοί etc. quibusdam propter homoioteleuton omissis. — 34) quae uncis inclusa addidi, in cod. item omissa sunt.

μεριστὰ ἅπερ ἂν ἔχῃ διαίρεσιν οἷον οἰκίαι καὶ ἱμάτιον καὶ ἀργύριον καὶ κτῆμα καὶ τὰ τοιαῦτα, ἀμερῆ δὲ ἅπερ ἂν ἀμέριστα ᾖ οἷον μονὰς καὶ στιγμὴ καὶ σημεῖον καὶ φθόγγος καὶ τὰ τοιαῦτα. καὶ τῶν μεριστῶν δὲ ἄρα τὰ μέν ἐστιν ὁμοιομερῆ || ὧν καὶ τὰ μέρη ὅμοια οἷον ὕδωρ πῦρ f. 251 a. χαλκὸς καὶ τὰ τοιαῦτα [τὰ δὲ ἀνομοιομερῆ ὧν τὰ μέρη ἀνόμοια οἷον οἰκία καὶ τὰ τοιαῦτα].

27. διαίρεσις τῶν βελτιόνων καὶ τῶν χειρόνων καὶ τῶν καλλιόνων καὶ αἰσχιόνων καὶ λευκοτέρων καὶ μελανωτέρων: τούτων ἕκαστον λέγεται τριχῶς· ἢ γὰρ τοῦ ἐναντίου ἢ ἑαυτοῦ ἢ μέσου, οἷον ἐναντίου βέλτιον εἶναι λέγεται τὸ ἀγαθὸν τοῦ κακοῦ ὡς τῆς πανουργίας καὶ τῆς ἀφροσύνης ἡ φρόνησις, τοῦ δὲ μέσου λέγεται βέλτιον εἶναι τὸ ἀγαθὸν οἷον τοῦ μήτε ἀγαθοῦ μήτε κακοῦ, αὐτὸ δὲ ἑαυτοῦ λέγεται βέλτιον καθὸ ἀγαθὸν ἀγαθοῦ ἐὰν ἧττον τὸ ἕτερον. ὁμοίως δὲ καὶ τὸ καλόν· λέγεται γὰρ καὶ τοῦ αἰσχροῦ κάλλιον καὶ τοῦ μήτε αἰσχροῦ μήτε καλοῦ κάλλιον εἶναι, λέγεται δὲ καὶ τοῦ καλοῦ ἧττον δὲ καλοῦ κάλλιον εἶναι. ὁμοίως δὲ καὶ τὸ λευκότερον λέγεται· τὸ γὰρ λευκὸν καὶ τοῦ μέλανος λέγεται εἶναι λευκότερον καὶ τοῦ μήτε μέλανος μήτε ὄντος λευκοῦ ὅπερ ἐστὶ μέσον. καὶ ἐπὶ τῶν ἄλλων δὲ τῶν οὕτως λεγομένων τὸν αὐτὸν τρόπον ἔχειν φατέ. κατὰ τρεῖς ἄρα τρόπους λέγεται βελτίω καὶ χείρω καὶ καλλίω καὶ αἰσχίω καὶ λευκότερον καὶ μελανώτερον: —

28. διαιρεῖται τὰ ἐξ ὧν πόλις οἰκεῖται εἰς τρία· ἔστι γὰρ αὐτῶν ἓν μὲν ἐκ τοῦ μαχίμου μέρους τῶν ἀνθρώπων, ἓν δὲ ἐκ τοῦ βουλεύεσθαι δυναμένου, ἓν δὲ ἐκ τοῦ ἐργάζεσθαι. τὸ μὲν οὖν μάχιμον μέρος τὸ ἄλκιμόν ἐστι, τὸ δὲ βουλεύεσθαι δυνάμενον τὸ τῶν πρεσβυτέρων, τὸ δὲ ἐργάζεσθαι τὸ τῶν τεχνιτῶν καὶ γεωργῶν καὶ τῶν ἄλλων τῶν τοιούτων. τούτων δὲ ὅτι ἂν ἀπῇ οὐ ῥᾳδίως ἡ πόλις οἰκεῖται: —

29. διαιρεῖται ἡ γένεσις εἰς τέσσαρα· ἔστι δὲ αὐτῆς ἓν μὲν ἐξ οὐκ ὄντος εἰς οὐσίαν μεταβάλλειν οἷον τὸν οὐκ ὄντα υἱὸν γενέσθαι καὶ ἀνδριάντα τὸν οὐκ ὄντα γενέσθαι καὶ πάντα τὰ τοιαῦτα, ἓν δὲ ἐκ τόπου εἰς τόπον μεταβάλλειν καὶ τεθῆναι ἐν ἄλλῳ οἷον οἱ πλέοντες καὶ πορευόμενοι καὶ πᾶν τὸ τοιοῦτον, ἓν δὲ ἕξεως καὶ διαθέσεως μεταβολὴ οἷον τὸ ἐξ ἀπαιδεύτου πεπαιδευμένον γενέσθαι καὶ ἐκ νέου πρεσβύτην καὶ ἐξ ἐχθροῦ φίλον, ἓν δὲ πραγμάτων μεταβολὴ οἷον ἐκ πλουσίου πλάνητα

---

5) addidi quae exciderunt in codice. — 7) καὶ τῶν καλλίων καὶ αἰσχίων cod. — 8) (item 20) μελανοτέρων cod. — 12) τοῦ μήτε: τὸ μήτε cod. — 27) αὐτῆς: αὐτῶν cod. — 29) ἐκ τόπου εἰς τόπον: ἐκ τοῦ εἰς τόπον cod. — 30) τεθῆναι: τιθεῖν cod. — 32) πεπαιδευμένον: τὸ παιδευμένον cod.

καὶ ἐξ ἰδιώτου ἄρχοντα καὶ ἐξ ἄρχοντος ἰδιώτην γενέσθαι καὶ ἄλλα τοιαῦτα: —

30. *διαιρεῖται τὸ ἀληθὲς εἰς τρία· ἔστι γὰρ αὐτοῦ ἓν μὲν τὸ πρᾶγμα ἀληθὲς εἶναι, ἓν δὲ τὸν λόγον, ἓν δὲ τὸ συναμφότερον. ἔστι δὲ τὸ πρᾶγμα ἀληθὲς ὅταν ᾖ οὕτως ἔχον καὶ οὐκ ἄλλως, οἷον τὸ τὸν θεὸν ἀθάνατον εἶναι· οὕτως γὰρ ἔχει τὸ πρᾶγμα καὶ οὐκ ἄλλως. τὸ δὲ λέγειν, οὗτος ἐστὶν ἀληθὴς λόγος, τοῦ ἀληθοῦς ἐστίν· ἔστι γὰρ ὁ λόγος πρᾶγμα ὑπὸ τὸν λόγον τοῦτον ὄν. τὸ δὲ λέγειν ὅτι οἱ ἄνθρωποι ἔμψυχοί εἰσι, καὶ ὁ λόγος ἀληθής ἐστι καὶ τὸ πρᾶγμα: —*

31. *διαιρεῖται τὸ ψεῦδος εἰς τρία· ἔστι γὰρ αὐτοῦ ἓν μὲν τὸ τὸ πρᾶγμα εἶναι ψεῦδος, ἓν δὲ τὸν λόγον, ἓν δὲ τὸ συναμφότερον. τὸ μὲν οὖν πρᾶγμα ἐστὶ ψεῦδος, ὅταν μὴ οὕτως ἔχῃ ὡς λέγεται ἀλλ᾽ ἄλλως οἷον ὁ καθήμενος ᾗ ἑστηκὼς ἢ ὁ λευκός [μέλας]. ὁ δὲ λόγος ἔσται ψευδὴς ὅταν τις λέγῃ τὸν ἀληθῆ λόγον εἶναι ψευδῆ, οἷον ὁ λέγων τὸν περὶ τοῦ θεοῦ λόγον οἷον ὁ λέγων ὅτι ἔστι θεός, καὶ τοῦτον ὁ φάσκων ψευδῆ εἶναι ὁ λόγος οὗτος ἐστὶ ψευδής· οὐ γάρ ἐστιν ὑπὸ τὸν λόγον τοῦτον πρᾶγμα οὐδὲν ἀλλὰ ὁ λόγος. ὁ δὲ λέγων τὴν ἡμέραν νύκτα εἶναι καὶ τὸ πρᾶγμα ψεῦδος ἐρεῖ καὶ τὸν λόγον: —*

32. *διαιρεῖται ἡ τιμὴ εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν εἰς ἀργυρίου λόγον, ἓν δὲ εἰς ἐπαίνου λόγον, ἓν δὲ εἰς θεραπείας τινὸς καὶ ἐπιμελείας λόγον. τὸ μὲν οὖν εἰς ἀργυρίου λόγον ἐστὶν ἀξία ἐν πράσει καὶ ὠνήσει, οἷον ἄξια τῆς τιμῆς φαμὲν εἶναι· τὸ δὲ εἰς ἐπαίνου λόγον εἶναι οἷον αἱ ἐν ταῖς πόλεσι τιμαὶ δι᾽ ἐνίας πράξεις γινόμεναι καὶ δωρεαὶ διδόμεναι· τὸ δὲ εἰς θεραπείας λόγον καὶ ἐπιμελείας οἷον τὸν θεὸν τιμῶμεν θεραπείᾳ τινὶ καὶ ἐπιμελείᾳ τινός, καὶ τοὺς γονεῖς δὲ τιμῶμεν, ὁμοίως δὲ καὶ τὰ ἄλλα τὰ διὰ θεραπείαν γινόμενα: —*

(D. L. 19) 33. *διαιρεῖται ἡ δύναμις εἰς πέντε· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν ψυχῇ, ἓν δὲ ἐν σώματι, ἓν δὲ ἐν ταῖς πράξεσιν, ἓν δὲ ἐν ἐνίοις τῶν μὴ ὄντων, ἓν δὲ ἐν τῷ παθεῖν ἢ ποιῆσαι. ἐν ψυχῇ μὲν ἃ μανθάνομεν καὶ διανοούμεθα, ἐν σώματι δὲ οἷον αἵ τε κινήσεις καὶ αἱ ἄλλαι δυνάμεις καθ᾽ ἃς πράττειν τι ἐν τῷ σώματι δυνάμεθα, ἐν δὲ ταῖς πράξεσιν οἷον αἱ στρατιωτικαὶ δυνάμεις· λέγεται γὰρ μεγάλην ἔχειν δύναμιν ὅταν χρήματα καὶ στρατιῶται πολλοὶ συνηθροισμένοι ὦσι. τῶν δὲ μὴ ὄντων*

---

4) *τὸν λόγον*: *τῷ λόγῳ* cod. — 7) *οὗτος ἐστίν*: ita semper accentus ponitur in codice cf. 31, 12. 16. 46, 35. 36. 59, 27. 66, 32. 67, 6 etc. in reliquis summa inconstantia, plerumque autem inclinatio negligitur. — 13) in cod. deest *μέλας* vel *μὴ λευκός*. — 14) *τις*: *τί* cod. — 15) *ἔστιν θεός* cod. — 28) *ἓν δὲ ἐν ἑνὶ ὀστῶν μὴ ὄντων* cod. — 33) *συνηθροισμένοι*: *συνειθισμένοι* cod.

ἐν ἐνίοις ὅσα δυνατά ἐστι γενέσθαι ἢ ποιηθῆναι· ἐν δὲ τῷ παθεῖν ἢ ποιῆσαι ὅσα δυνατά ἐστιν ἀναιρεῖν ἢ ἀναιρεθῆναι: —

34. διαιρεῖται τῶν ἐπιστημῶν ἡ κρίσις εἰς τρία· ἔστι γὰρ αὐτῶν ἓν μὲν ἂν ᾖ βελτιόνων ἢ καλλιόνων, ἓν δὲ ἂν ᾖ συμφερόντων μᾶλλον καὶ κατεπειγόντων, ἓν δὲ ἂν ᾖ τῶν ἀκριβεστέρων μᾶλλον δὲ καὶ εἰς ἀπόδειξιν συντεινόντων. ἔστι δὲ τὸ μὲν βελτιόνων καὶ καλλιόνων οἷον ἡ ἀνδριαντοποιητικὴ τέχνη καὶ ἡ ἀγαλματοποιητικὴ καὶ ἡ πορφυροβαφικὴ καὶ αἱ τοιαῦται· συμφερόντων δὲ καὶ μᾶλλον κατεπειγόντων οἷον ἡ σκευοποιητικὴ καὶ οἰκοδομικὴ καὶ αἱ τοιαῦται· ἀκριβεστέρων δὲ καὶ μᾶλλον εἰς ἀπόδειξιν συντεινόντων αἵ τε μαθηματικαὶ καὶ ἡ φιλοσοφία: —

35. διαιρεῖται ὁ στρατηγὸς εἰς τρία· ἔστι γὰρ ἢ τῷ νόμῳ στρατηγὸς ἢ κατὰ δύναμίν τινα καὶ πραγμάτων κυρείαν στρατηγὸς ἢ κατὰ ἐπιστήμην. ἔστι δὲ ὁ μὲν κατὰ νόμον στρατηγὸς οἷον οἱ ἐν ταῖς πόλεσιν αἱρούμενοι, ὁ δὲ κατὰ ἐπιστήμην ὁ ἔχων τὴν στρατηγικὴν ἐπιστήμην, ὁ δὲ κατὰ δύναμίν τινα καὶ πραγμάτων κυρείαν οἷον ὁ ὑπό τινος ἐπισταθεὶς ἢ αὐτὸς ὑφ' ἑαυτοῦ κύριος χρημάτων καὶ στρατιωτῶν γενόμενος: —

36. διαιρεῖται τὸ ἀγαθὸν εἰς τέσσαρα· ἔστι γὰρ αὐτοῦ ἓν μὲν (D. L. [illegible])
ἀρετὴ καὶ δικαιοσύνη, ἓν δὲ τὸ ἔχον ἀρετήν, ἓν δὲ τὸ συμφέρον, ἓν δὲ τὸ τερπνὸν καὶ τὸ ἥδεσθαι ποιοῦν. οἷον ἀρετὴ μὲν καὶ δικαιοσύνη ὅτι τούτων ἑκάτερον ἀγαθὸν λέγεται εἶναι, ἓν δὲ τὸ ἔχον ἀρετὴν οἷον ἵππος καὶ ἄνθρωπος καὶ τὰ τοιαῦτα· καὶ γὰρ τούτων ἕκαστον λέγεται ἀγαθὸν εἶναι ἐὰν ἔχῃ τὴν ἀρετήν. τὸ δὲ συμφέ||ρον οἷον γυμνασία f. 251 b
καὶ φαρμακεία καὶ τἄλλα ὅσα πρὸς ὑγείαν καὶ εὐεξίαν· καὶ γὰρ τούτων ἕκαστον λέγεται ἀγαθὸν εἶναι ᾧ ἂν συμφέρῃ. τὸ δὲ τερπνὸν καὶ τὸ ἥδεσθαι ποιοῦν οἷον ὑποκριτὴς καὶ αὐλητὴς καὶ τῶν βρωμάτων ἔνια καὶ τἄλλα τὰ τοιαῦτα· ὁ γὰρ ὑποκριτὴς καὶ ὁ αὐλητὴς οὐ τῷ ὠφελεῖν ἀγαθὸν εἶναι λέγεται ἀλλὰ τῷ τέρπειν τοῦ ἀγαθοῦ εἶναι: —

37. διαιροῦνται αἱ μέθοδοι αἱ εἰς τὰ προβλήματα εἰς τρία· εἰσὶ γὰρ αὐτῶν αἱ μὲν κριτικαί, αἱ δὲ θεωρητικαί, αἱ δὲ ἐριστικαί. καὶ κριτικαὶ μέν εἰσιν αἷς τὸ βέλτιον καὶ τὸ χεῖρον διακρίνομεν, οἷον πότερον βέλτιον δικαιοσύνη ἢ ἀνδρεία· θεωρητικαὶ δὲ αἷς θεωροῦμεν τὸ τοιοῦτον, οἷον πότερον ταὐτὸν νόσος ἐστὶν ὑγείᾳ καὶ εὐεξίᾳ ἢ οὔ· ἐριστικαὶ δὲ αἷς τοὺς ὅρους ἀναιροῦμεν, οἷον οὐκ ἔστιν εὐεξία σωμάτων ἡ κρατίστη: —

38. διαιρεῖται ἡ λύπη εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν οἷς προσ-

16) ὑπό: ἀπό cod. — 17) ὑφ' om. cod. — 26) συμφέρει cod. — 37) ἡ λύπη: εἰς λύπη cod.

ἥκει τὸν φρόνιμον λυπεῖσθαι, ἓν δὲ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς καὶ κακοῖς καὶ τοῖς ἄλλοις τοῖς μηδὲν προσήκουσι λυπεῖσθαι. ἔστι δὲ τὸ μὲν ἐφ' οἷς προσήκει τὸν φρόνιμον λυπεῖσθαι οἷον ἐπὶ τοῖς ἑαυτοῦ ἀτυχήμασιν ἢ τῶν αὐτοῦ τινὸς οἰκείων ἢ φίλων ἢ τῆς συμπάσης πόλεως καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων· τὸ δὲ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς λυπεῖσθαι ἐστὶ φθόνος τις καὶ βασκανία καὶ πᾶν τὸ τοιοῦτον· τὸ δὲ ἐπὶ πᾶσι κακοῖς καὶ ἀγαθοῖς καὶ πᾶσι τοῖς ἄλλοις τοῖς μηδὲν προσήκουσι λυπεῖσθαι, τὸ μὲν ἐπὶ τοῖς κακοῖς τοῖς ἀλλοτρίοις ἔλεος, τὸ δὲ ἐπὶ τοῖς ἀγαθοῖς φθόνος, τὸ δὲ ἐπὶ τοῖς ἄλλοις τοῖς μηδὲν προσήκουσι φθόνος καὶ βασκανία.

39. διαιρεῖται ἡ ἡδονὴ εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν περὶ τὸ λογικόν, ἓν δὲ περὶ τὸ θυμικόν, ἓν δὲ περὶ τὸ ἐπιθυμητικόν, ἓν δὲ περὶ τὰς αἰσθήσεις. ἔστι δὲ ἡ τὸ μανθάνειν περὶ τὸ λογιστικὸν ἢ ἀπὸ τοῦ μανθάνειν καὶ ἀνευρίσκειν ἡδονὴ καὶ τὰ τοιαῦτα· περὶ δὲ τὸ θυμικὸν οἷον ἥ τε τοῦ κρατεῖν καὶ νικᾶν καὶ ἀντιτιμωρεῖσθαι καὶ αἱ τοιαῦται· αἱ δὲ περὶ τὸ ἐπιθυμητικὸν αἵ τε ἀπὸ τῆς τροφῆς καὶ συνουσίας καὶ αἱ τοιαῦται ἡδοναὶ γινόμεναι· ἡ δὲ περὶ τὸ αἰσθητικὸν περὶ τὰς αἰσθήσεις, οἷον ἥ τε διὰ τοῦ ὁρᾶν καὶ γεύεσθαι καὶ ὀσφραίνεσθαι καὶ αἱ τοιαῦται:—

40. διαιρεῖται ἡ εὐταξία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν περὶ ψυχήν, ἓν δὲ περὶ σῶμα, ἓν δὲ περὶ πλῆθος, ἓν δὲ περὶ κινήσεις. ἡ μὲν οὖν ἐν τῇ ψυχῇ εὐταξία ἐγγινομένη κοσμιότης καλεῖται, ἡ δὲ ἐν τῷ σώματι εὐταξία κάλλος καλεῖται, ἡ δὲ ἐν κινήσει εὐταξία εὐρυθμία ὀνομάζεται, ἡ δὲ ἐν τῷ πλήθει οἷον ἡ πρὸς ἄρχοντας εὐταξία πειθαρχία προσαγορεύεται: —

41. διαιρεῖται ἡ ἀταξία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν ψυχῇ, ἓν δὲ ἐν σώματι, ἓν δὲ ἐν πλήθει, ἓν δὲ ἐν κινήσει. ἡ μὲν οὖν ἐν τῇ ψυχῇ ἀταξία ἐγγινομένη ἀσωτία ἢ ἀκολασία καλεῖται, ἡ δὲ ἐν τῷ σώματι ἀταξία αἰσχρότης καλεῖται, ἡ δὲ ἐν τῷ πλήθει ἀταξία ἀπειθαρχία καλεῖται, ἡ δὲ ἐν κινήσει ἀρρυθμία προσαγορεύεται: —

42. διαιρεῖται τὰ ἐν φιλοσοφίᾳ προβλήματα εἰς πέντε· ἔστι γὰρ αὐτῶν ἓν μὲν πολιτικόν, ἓν δὲ διαλεκτικόν, ἓν δὲ φυσικόν, ἓν δὲ ἠθικόν, ἓν δὲ ῥητορικόν. πολιτικὸν μὲν οὖν ἐστὶ τὸ ὑπὲρ νόμων καὶ τινῶν τιμωριῶν προβαλλόμενον, οἷον πότερον δεῖ κολάζειν τὰ ξενικὰ ἁμαρτήματα ἢ τὰ πολιτικὰ ἢ ἀνόμοια ἢ τἆλλα τὰ τοιαῦτα· διαλεκτικὸν δὲ οἷον πότερον τῶν ἐναντίων αὐτὴ ἡ ἐπιστήμη ἢ ἑτέρα, καὶ τἆλλα

12) ἓν δὲ περὶ τὸ θυμικόν: om. cod. — 23) πειθαρχία εὐταξία cod. — 28) ἀταξία: cod. ἀκολασία. — ἀταξία: cod. iterum ἀκολασία. — 29) ἀρρυθμία: cod. εὐρυθμία. — 34) ἀνόμοια: sic cod. fort. ἄνομον. — 35) αὐτή: cod. αὕτη. — ἑτέρα: cod. ἕτερα.

τὰ τοιαῦτα· φυσικὸν δὲ οἷον πότερον εἷς κόσμος ἐστὶν ἢ πλείους, καὶ τἄλλα τὰ τοιαῦτα· ἠθικὸν δὲ οἷον πότερον δεῖ πάντα χαρίζεσθαι τοῖς φίλοις ἢ τὰ μὲν τὰ δὲ οὔ, καὶ τἄλλα τὰ τοιαῦτα· ῥητορικὸν δὲ οἷον ἐάν τις ὑπὲρ ποιητῶν κατηγορῇ ἢ ἀπολογῆται, οἷον διατί τὸν Ὀδυσσέα οἱ ἑταῖροι φρονιμώτατον ὄντα ἐξέθηκαν εἰς τὴν νῆσον καθεύδοντα, καὶ τὰ τοιαῦτα: —

43. διαιρεῖται ἡ κόλασις εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἀναίρεσις, ἓν δὲ εἰς ἀργυρίου λόγον, ἓν δὲ εἰς προπηλακισμόν, ἓν δὲ εἰς κάκωσιν σώματος. ἡ μὲν οὖν ἀναίρεσίς ἐστιν οἷον ἐπὶ τοῖς ἀνηκέστοις ἁμαρτήμασιν ὅπερ τιμωρία ὀνομάζεται· αἱ δὲ εἰς ἀργυρίου λόγον οἷον αἱ ὑπὸ τῶν νόμων ζημίαι κολάζουσιν· αἱ δὲ εἰς προπηλακισμοῦ λόγον οἷον αἱ ἀτιμίαι αἱ ἐν ταῖς πόλεσι γινόμεναι, οἷον ἄτιμον εἶναι ὃς ἂν ἀσπίδα ῥίψῃ ἢ παρακαταθήκην ἀποστερήσῃ, καὶ αἱ ἄλλαι αἱ τῶν νόμων ἀτιμίαι· αἱ δὲ εἰς κάκωσιν σώματος οἷον οἱ μαστιγοῦντες καὶ οἱ λοιδοροῦντες καὶ οἱ τοιοῦτοι: —

44. διαιρεῖται ἡ εὐεργεσία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν (D.L.17)
λόγῳ εὐεργετεῖν, ἓν δὲ δι' ἐπιστήμης καὶ τεχνῶν, ἓν δὲ εἰς ἀργυρίου λόγον καὶ ἓν διὰ σωμάτων. διὰ λόγων οὖν εὐεργετοῦσιν οἱ συνηγοροῦντες καὶ συνδικάζοντες καὶ ἐγκωμιάζοντες καὶ οἱ τοιοῦτοι, δι' ἐπιστήμης δὲ καὶ τέχνης οἱ παιδεύοντες καὶ ἰατρεύοντες καὶ οἱ πρὸς τὸν βίον χρήσιμα δημιουργοῦντες, εἰς ἀργυρίου δὲ λόγον οἱ προιστάμενοι τῆς εἰς ἀργυρίου χρείας, διὰ τῶν σωμάτων δὲ εὐεργετοῦσιν οἱ ἀμύνοντες καὶ βοηθοῦντες ἐν τοῖς τοιούτοις συμπτώμασιν: —

45. διαιρεῖται ἡ ἁμαρτία εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν μετὰ ἀδικίας, ἓν δὲ μετὰ ἀγνοίας, ἓν δὲ μετὰ ἀτυχίας. τὸ μὲν οὖν μετὰ ἀδικίας ἁμαρτάνειν ἐστὶν οἷον τὸ εἰς θεὸν ἀσεβεῖν καὶ τοὺς φίλους κακῶς ποιεῖν καὶ τὰ ἐν ταῖς πόλεσιν ἀδικήματα, τὸ δὲ μετὰ ἀγνοίας ἁμαρτάνειν οἷον γραμματικῇ ἢ ἀριθμητικῇ καὶ ταῖς τοιαύταις ἐπιστήμαις· ταῦτα γὰρ οὐ μετὰ ἀδικίας γίνεται ἀλλὰ μετὰ ἀγνοίας. μετὰ ἀτυχίας δὲ ἁμαρτάνειν ἐστὶν οἷον οἱ τοῦ σκοποῦ ἀποτυγχάνοντες καὶ οἱ τῶν ὁδῶν καὶ οἱ ἀκούσια ἁμαρτάνοντες: —

46. διαιρεῖται ἡ ἀτυχία εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν ταῖς πράξεσιν, ἓν δὲ ἐν τοῖς καιροῖς, ἓν δὲ ἐν τοῖς συμπτώμασι τοῖς ἀπὸ ταὐτομάτου γινομένοις. τὸ μὲν οὖν ἐν ταῖς πράξεσιν ἀτυχεῖν βλάπτεσθαι καὶ ζημιοῦσθαι ἐστί, τὸ δὲ ἐν τοῖς καιροῖς ἀτυχεῖν ὑστερεῖσθαι ἐστὶ καὶ προτερεῖν καὶ τοῦ διαμαρτάνειν καὶ τοῦ καιροῦ γινόμενον, τὸ δὲ ἐν τοῖς συμπτώμασι τοῖς ἀπὸ ταὐτομάτου γινομένοις οἷον αἱ πληγαὶ αἱ ἐξαίφνης καὶ αἱ βλάβαι αἱ ἐξ ἀπροσδοκήτου προσπίπτουσαι: —

13) ῥίψει cod. — αἱ ἄλλαι: αἱ om. cod.

l. 252a 47. διαιρεῖται τὰ ἴδια καὶ τὰ κοινῶς ἀγαθὰ εἰς πέντε· ἔστι γὰρ αὐτῶν τὰ μὲν ἴδια θεοῦ, τὰ δὲ ἴδια ἀνθρώπων, τὰ δὲ κοινὰ θεοῦ καὶ ἀνθρώπων, τὰ δὲ κοινὰ ἀνθρώπου καὶ τῶν ἄλλων ζώων πλὴν θεοῦ, τὰ δὲ πάντων κοινά. ἴδια μὲν οὖν ἐστὶ θεοῦ τὸ ἀίδιον εἶναι καὶ τὰ τοιαῦτα, ἴδια δὲ ἀνθρώπου τὸ σύμφρονα καὶ δίκαιον εἶναι καὶ τὰ τοιαῦτα, κοινὰ θεοῦ καὶ ἀνθρώπων τὸ σπουδαῖον εἶναι· καὶ γὰρ τῷ θεῷ ὑπάρχει καὶ τῷ ἀνθρώπῳ σπουδαίῳ εἶναι, ἴδιον δὲ ἀνθρώπου ἡ ἐγκράτεια κακοῦ τινὸς οὖσα ἀποτρεπτική, τῷ θεῷ δὲ οὔτε γενέσθαι οὔτε ὑπάρχειν κακὸν καλῶς ἔχει λέγειν· καὶ τἆλλα τὰ τοιαῦτα. κοινὸν δὲ ἀνθρώπων καὶ τῶν ἄλλων ζώων πλὴν θεοῦ ἀνδρεία· αὕτη γὰρ κινδύνου τινὸς καὶ φόβου ἀντιστατική ἐστι· καὶ πάντα τὰ τοιαῦτα. πάντων δὲ κοινὸν τὸ καλόν: —

48. ἕκαστον τῶν ὄντων ἀποτελεῖται διὰ τέσσαρας αἰτίας· ἢ γὰρ διὰ τὸ περὶ χρηστὴν ὑπάρχειν ἀπροσδόκητον τύχην ἢ δι' ἐπιστήμην ἢ διὰ φύσιν ἢ διὰ βίαν καὶ ἀνάγκην. τὰ μὲν διὰ τύχην ἐστὶ τὸ ἀπὸ ταὐτομάτου καὶ ἀπὸ προνοίας ἀποτελούμενον, τὰ δὲ δι' ἐπιστήμην αἵ τε οἰκίαι καὶ αἱ νῆες καὶ πάντα τὰ τοιαῦτα, τὰ δὲ διὰ φύσιν οἷον οἱ ἄνθρωποι καὶ τὰ δένδρα καὶ τὰ ζῶα πάντα, διὰ δὲ βίαν καὶ ἀνάγκην οἷον αἱ τῶν ἀλόγων ζώων δαμάσεις καὶ αἱ κρατήσεις καὶ δεσποτεῖαι καὶ τυραννίδες καὶ τὰ τοιαῦτα: —

49. διαιρεῖται τὸ ψευδολογεῖν εἰς τέσσαρα· ἔστι γὰρ αὐτοῦ ἓν μὲν ἐν ἀλαζονείᾳ, ἓν δὲ εἰρωνεία, ἓν δὲ κερτόμησις, ἓν δὲ ψευδολογία τις μετὰ βλάβης. ὁ μὲν οὖν ἀλαζονευόμενος ἐπὶ πλεῖον καὶ μεῖζον ψεύδεται· προσποιητὸς γάρ ἐστιν, ὃ οὐκ οἶδεν εἰδέναι θέλων καὶ ἅπερ οὐκ ἔχει ἔχειν. ὁ δὲ εἰρωνευόμενος ἐπὶ τὸ ἔλαττον ψεύδεται· ὅ τε γὰρ πλούσιος πένης φησὶν εἶναι ἐὰν εἰρωνεύηται, καὶ ὁ σοφὸς οὐκ εἶναι σοφός. ὁ δὲ ἐν τῷ κερτομεῖν ψευδολογῶν μετὰ τοῦ σκώπτειν οἷον τὸ ἡττᾶσθαι κρατεῖν ἢ καλὸν τὸ κακὸν λέγων καὶ σοφὸν τὸ ἀπαίδευτον, ὁ δὲ μετὰ βλάβης οἷον ὁ τὰ ψευδῆ μαρτυρῶν καὶ ἀπαρνούμενος καὶ τἆλλα τὰ τοιαῦτα: —

50. διαιρεῖται ὁ ψευδόμενος εἰς δύο· ὁ μὲν γὰρ ἑκὼν ψεύδεται ὁ δὲ ἄκων. ὁ μὲν οὖν ἑκὼν ψευδόμενος ἐξαπατᾷ τινὰς καὶ ἄλλως ἀπάτην ἐμποιεῖ, ὁ δὲ ἄκων ψευδόμενος αὐτὸς ἐξηπατημένος ψεύδεται ἀπὸ τῆς ἐν αὐτῷ ἀπάτης οὔσης: —

(cf. infra 63) 51. διαιρεῖται ἡ ἀρχὴ εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν κατὰ φύ-

---

4) *ἐστὶν θεοῦ* cod. — 14) *ἀπροσδόκητον*: ita scripsi, cod. obscure *ἀπροσδέγτον* (*-δεκτον*? cui repugnat accentus, *-δέητον*?). — 15) *ἐστὶν τὸ* cod. — 35) *τρία*: cod. *τέσσαρα*.

σιν, ἓν δὲ κατὰ βίαν, ἓν δὲ κατὰ τάξιν καὶ θέσιν. κατὰ φύσιν μὲν οὖν ἄρχει τὸ ἄρρεν τοῦ θήλεος καὶ τὸ ἰσχυρότερον τοῦ ἀσθενεστέρου οἷον ἐν μὲν βουσὶ ταῦρος ἐν δὲ προβάτοις κριὸς καὶ πάντα τὰ τοιαῦτα, κατὰ βίαν δὲ οἷον οἱ δεσπόται τῶν δούλων καὶ οἱ τύραννοι τῶν πόλεων καὶ πάντα τὰ τοιαῦτα, κατὰ τάξιν δὲ καὶ θέσιν οἷον τὸ πρῶτον τεχθέν· ἐντεῦθεν ἀρχή ἐστι τῆς μὲν τραγῳδίας «ὦ παλαιὸν Ἄργος», τῶν δὲ στοιχείων τὸ ἄλφα καὶ ἀριθμοῦ τὸ ἕν.

52. διαιρεῖται τὸ ὀρθῶς λέγειν εἰς πέντε· ἔστι γὰρ αὐτοῦ ἓν μὲν (D.L.18. ὅσα δεῖ λέγειν, ἓν δὲ ὅπου δεῖ λέγειν, ἓν δὲ πρὸς οὓς δεῖ λέγειν, ἓν δὲ ἡνίκα δεῖ λέγειν, ἓν δὲ ἃ δεῖ λέγειν. τὸ μὲν οὖν ὅσα δεῖ λέγειν ἐστὶ τὸ μήτε πλείω μήτε ἐλάσσω τῶν ἱκανῶν, τὸ δὲ ὅπου δεῖ λέγειν ἐστὶν ἐν τόπῳ οἷον ἐν ἀγορᾷ καὶ ἐν γυμνασίῳ καὶ ἐν διατριβῇ καὶ ἐν τοῖς δέουσιν ἄλλοις τόποις, τὸ δὲ πρὸς οὓς δεῖ λέγειν ἑκάστῳ τὸ ἁρμόττον καὶ πρὸς ὃν ὃ ἁρμόττει οἷον πρὸς πρεσβυτέρους πρὸς μοχθηροὺς ἢ ἠδεῖς καὶ πρὸς ἐχθροὺς ἢ φίλους, τὸ δὲ ἡνίκα δεῖ οἷον τὸ μήτε πρότερον μήτε ὕστερον μήτε διὰ μέσου ἄτερ τοῦ καιροῦ ἀλλ' εὐκαίρως, τὸ δὲ ἃ δεῖ λέγειν οἷον τὰ συμφέροντα καὶ ὠφέλιμα καὶ αὐτῷ καὶ τῷ φίλῳ: —

53. διαιροῦνται αἱ ἐπιστῆμαι τῶν πρώτων καὶ τῶν δευτέρων εἰς τρία· εἰσὶ γὰρ αὐτῶν αἱ μὲν πρῶται, αἱ δὲ δεύτεραι, αἱ δὲ τρίται. (al. D.L. 5) πρῶται μὲν οὖν εἰσὶν αἱ παρασκευαστικαί τε καὶ μεταλλευτικαὶ καὶ ὑλοτομικαὶ καὶ λιθοτομικαί, δεύτεραι δὲ αἵ τε ποιητικαὶ καὶ μετασχηματιστικαὶ οἷον ἡ μὲν χαλκευτικὴ τὸν σίδηρον· τοῦτον γὰρ λαβοῦσα μετεσχημάτισε καὶ ἐποίησε χαλινοὺς καὶ ὅπλα καὶ τὰ τοιαῦτα, ἡ δὲ λιθουργικὴ τοὺς λίθους παραλαβοῦσα μετεσχημάτισε καὶ ἐποίησε τείχη καὶ οἰκίας καὶ τὰ τοιαῦτα. πάλιν αἱ τρίται· ἡ μὲν γὰρ ἱππικὴ παραλαβοῦσα τὸν χαλινὸν ἐχρήσατο καλῶς καὶ ἡ πολεμικὴ τὰ ὅπλα καὶ ἐπὶ τῶν τοιούτων, καὶ πάλιν ἡ αὐλητικὴ παραλαβοῦσα τοὺς αὐλοὺς ἐχρήσατο καλῶς καὶ ἡ κυβερνητικὴ τοὺς οἴακας παραλαβοῦσα καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων: —

54. διαιρεῖται ὁ καθαρισμὸς καὶ ἡ κάθαρσις εἰς τρία· ἔστι γὰρ αὐτῶν ἓν μὲν νόμῳ, ἓν δὲ φύσει, ἓν δὲ τέχνῃ καὶ πράγματι. νόμῳ μὲν οὖν ἐστὶ καθαρμὸς οἷον ὅ τε τοῦ ἀέρος ὅταν ἀποκαθαίρηται καὶ ὅταν τὰ ὕδατα ὦσι καθαρὰ καὶ τὰ βρώματα καὶ πάντα τὰ τοιαῦτα ... τέχνῃ

---

4) **κατὰ βίαν δέ**: haec ego addidi, om. cod. — 6) **Ἄργος** (Eurip. Electra): **ἄρτος** cod. — 10) **ἐστὶν τό** cod., ut supra. — 16) **ἄτερ** cod. — 16) **εὐκαίρως**: **ἐσκαίρως** cod. — 32) **ἐστὶν καθαρμός** cod. — 33) **ὦσι**: cod. **εἰσί**. — **καὶ πάντα τὰ τοιαῦτα ... τέχνῃ δέ**: cod. **καὶ πάντα. τέχνῃ δέ**. excidit igitur alterum, sc. **φύσει δὲ** etc.

δὲ καὶ πράγματι οἷον ἥ τε τῶν χαλκωμάτων καὶ τῶν ἱματίων πλύσις καὶ τὰ τοιαῦτα: —

(D. L. 24) 55. διαιρεῖται ἕκαστον τῶν ὄντων εἰς τρία· ἔστι γὰρ ἢ ἀγαθὸν ἢ κακὸν ἢ οὐδέτερον. τὸ μὲν οὖν ἀγαθόν ἐστιν ὅταν ὠφελήσῃ τινὰ καὶ οὐ βλάψῃ, τὸ δὲ κακὸν ὅταν βλάπτῃ ἀεί, τὸ δὲ οὐδέτερον ὅπερ ποτὲ μὲν βλάψει ποτὲ δὲ ὠφελήσει οἷον οἱ περίπατοι καὶ οἱ ὕπνοι καὶ οἱ ἑλλέβοροι καὶ τὰ τοιαῦτα, ἢ οὔτε βλάψει ὅλως οὔτε ὠφελήσει: —

(cf. D. L. 1 et supra 5) 56. τῶν ὄντων ἀγαθῶν ὁμοιότης τῶν περὶ τὴν ψυχὴν καὶ τῶν περὶ τὸ σῶμα καὶ τῶν ἐκτός ἐστιν αὕτη· τὰ μὲν οὖν πρῶτα τοῖς πρώτοις ἐστὶν ὅμοια, τὰ δὲ δεύτερα τοῖς δευτέροις, τὰ δὲ τρίτα τοῖς τρίτοις, τὰ δὲ τέταρτα τοῖς τετάρτοις· ἔστι δὲ τὰ μὲν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός. ἡ μὲν γὰρ φρόνησις ἐν ψυχῇ οὖσα αἰτία ἐστὶ τοῦ κράτιστα τὴν ψυχὴν διακεῖσθαι, ἡ δὲ εὐεξία αἰτία ἐστὶ τοῦ τὸ σῶμα ἄριστα διακεῖσθαι· ὅπερ γὰρ βούλεται πράττει . . . ὁ εὐδοξῶν. ἕκαστον ἄρα τούτων τῶν ἀγαθῶν πρωταγωνιστεῖ καὶ πρώτη λαμβάνεται ἡ ὁμοιότης. καὶ πάλιν ἡ μὲν δικαιοσύνη ἐν ψυχῇ ἐστὶν ἡ καὶ αἰτία οὖσα τῶν τῆς ψυχῆς μερῶν, ἡ δὲ εὐπρέπεια ἐν σώματι οὖσα εὐταξία ἐστὶν τῶν τοῦ σώματος μερῶν ψυχροῦ καὶ θερμοῦ καὶ ξηροῦ καὶ ὑγροῦ, ἡ δὲ εὐτυχία ἐκτὸς οὖσα εὐκαιρία τίς ἐστι πραγμάτων συμπτώσεως· ὥστε ταύτῃ πάλιν παραλαμβάνεται ἡ ὁμοιότης τῶν ἀγαθῶν. καὶ πάλιν ἡ
f. 252 b μὲν ἀνδρεία || ἐν ψυχῇ οὖσα ἰσχύς τίς ἐστιν καὶ ῥώμη πρὸς φόβους καὶ τὰ τοιαῦτα, ἡ δὲ ἰσχὺς ἐν σώματι οὖσα πρὸς τοὺς πόνους καὶ τὰς κακοπαθείας ἰσχύς ἐστιν, οἱ δὲ φίλοι ἐκτὸς ὄντες ἰσχὺν τήνδε ἔχουσιν πρὸς τὴν ἐκτὸς βοήθειαν· ᾧ γὰρ πολλοὶ φίλοι εἰσὶν ἰσχυρότερος οὗτος ἐν πόλει· λαμβάνεται δὲ καὶ ταύτῃ τῶν ἀγαθῶν τούτων ἡ ὁμοιότης. καὶ πάλιν ἡ μὲν σωφροσύνη ἐν ψυχῇ οὖσα κοσμεῖ τὴν ψυχὴν καὶ συμμέτρως ζῆν ποιεῖ, τὸ δὲ κάλλος ἐν σώματι ὂν κοσμεῖ τὸ σῶμα καὶ σύμμετρον παρασκευάζει, ὁ δὲ πλοῦτος ἐκτὸς ὢν χορηγὸς καὶ κοσμητὴς τῶν ἀνθρώπων ἐστίν· καὶ ταύτῃ λαμβάνεται τῶν ἀγαθῶν τούτων ἡ ὁμοιότης: —

57. τῶν κακῶν ὁμοιότης τῶν περὶ τὴν ψυχὴν καὶ τὸ σῶμα καὶ τῶν ἐκτός ἐστιν αὕτη. ἐν τῇ ψυχῇ μέν ἐστιν ἀδικία κάκιστα τὴν ψυχὴν διατιθεῖσα, ἐν δὲ τῷ σώματι νόσος κάκιστα διατιθεῖσα τὸ σῶμα, ἐν δὲ τοῖς ἐκτὸς ἀτυχία κάκιστα διατιθεῖσα τὰς ἐκτὸς πράξεις· καὶ ταύτῃ λαμβάνεται ἡ ὁμοιότης τῶν κακῶν τούτων. καὶ πάλιν ἐν μὲν ψυχῇ ἀφροσύνη ἀρρωστία τίς ἐστι καὶ ἀλογιστία ψυχῆς, ἐν δὲ σώματι

---

7) ἐλέβοροι cod. — 8) τῶν ᴸἀγᵞαθῶν, ὄᵝντων cod. — 12) ἐστὶν τοῦ cod. — 14) cod. πράττει ὁ εὐδοξῶν, confundens εὐεξίαν et εὐδοξίαν, quae τῶν ἐκτός οὖσα comparari debebat. — 16) ἡ: cod. ἥ.

καχεξία ἀρρωστία ἐστίν, ἐν δὲ τοῖς ἐκτὸς ἀδοξία· προπηλακισμὸν γὰρ καὶ ἀρρωστίαν καὶ ὀλιγωρίαν περὶ τὰ ἄλλα τινὰ ἐμποιεῖ ταῖς ἐκτὸς πράξεσι· καὶ ταύτῃ πάλιν λαμβάνεται τῶν κακῶν τούτων ἡ ὁμοιότης. καὶ πάλιν ἐν μὲν ψυχῇ δειλία οὖσα ἐκπληκτικὰς καὶ πάντων ἥττους τῶν φόβων παρασκευάζει τὰς ψυχάς, ἐν δὲ σώματι ἀσθένεια πάντων τῶν πόνων ἡττᾶσθαι τὰ σώματα παρασκευάζει, ἐν δὲ τοῖς ἐκτὸς ἐχθροὶ ὄντες ἀσθενῆ περὶ τὰς ἐκτὸς πράξεις καὶ εὐκαταφρόνητον ποιοῦσιν· ᾧ γὰρ πολλοί εἰσιν ἐχθροὶ οὐδὲν τούτῳ ῥᾳδίως ὑπάρχει. καὶ ἔστιν ἡ μὲν δειλία ἐν φόβῳ εὐκαταφρονήτους ποιοῦσα, ἡ δὲ ἀσθένεια ἐν πόνοις εὐκαταφρόνητον τὸ σῶμα ποιεῖ, ἡ δὲ ἔχθρα ἐν πράξεσι ταῖς ἐν βίῳ. καὶ ἡ μὲν ἀσωτία καὶ ἀκολασία αἰσχρὰν τὴν ψυχὴν καὶ ἄκοσμον παρασκευάζει, τὸ δὲ αἶσχος ἐν σώματι ὂν αἰσχρὸν τὸ σῶμα καὶ ἄκοσμον παρασκευάζει, ἡ δὲ πενία ἐκτὸς οὖσα αἰσχρὸν βίον παρασκευάζει· καὶ ταύτῃ λαμβάνεται τῶν κακῶν τούτων ἡ ὁμοιότης: —

58. διαιρεῖται ἡ φιλία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἡ μὲν συγγε- (D. L. 2 νική, ἡ δὲ ἑταιρική, ἡ δὲ ξενική, ἡ δὲ ἐρωτική. ἔστι δὲ ἡ μὲν συγγενικὴ οἷον πατὴρ πρὸς υἱοὺς καὶ ἀδελφοὶ πρὸς ἀδελφοὺς καὶ οἱ ἄλλοι οἱ οἰκεῖοι, ἡ δὲ ἑταιρικὴ ἣ κοινωνοῦσιν οἱ διὰ συνήθειαν φίλοι γενόμενοι, ἡ δὲ ξενικὴ ἡ διὰ γραμμάτων καὶ συστάσεως ποιοῦσα φίλους, ἡ δὲ ἐρωτικὴ ἡ δι' ἐπιθυμίας τῆς τῶν καλῶν φιλίας κοινωνίαν παρασκευάζουσα: —

59. διαιρεῖται ἡ ἀποβολὴ τῆς ἐπιστήμης εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐὰν φθαρῇ οὗπερ ἐστὶν ἡ ἐπιστήμη, ἓν δὲ ἐὰν λήθη γένηται, ἓν δὲ ἐὰν ὁ ἔχων τὴν ἐπιστήμην φθαρῇ. ἐὰν μὲν οὖν οὗ ἐστὶν ἡ ἐπιστήμη φθαρῇ οἷον Σωκράτους, οὐκ ἔτι ἐστὶν ἐπιστήμη· ἔφθαρται γάρ. ἐὰν δὲ λήθη γένηται, καὶ οὕτως ἀποβάλλομεν τὴν ἐπιστήμην. ἐὰν δὲ ὁ ἔχων τὴν ἐπιστήμην φθαρῇ ἄνθρωπος, ἀναγκαῖον ἐστὶ συμφθείρεσθαι καὶ ἀποβάλλεσθαι αὐτήν: —

60. διαιρεῖται ἡ μουσικὴ εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν αὐτοῦ (D. L. 4 τοῦ στόματος ἔργον, ἓν δὲ χειρῶν καὶ στόματος, ἓν δὲ τῶν χειρῶν. ἓν δὲ μόνον αὐτοῦ τοῦ στόματος ἔργον οἷον αἵ τε ᾠδαὶ καὶ οἱ τερετισμοὶ καὶ τὰ τοιαῦτα, τῶν δὲ χειρῶν καὶ τοῦ στόματος ἥ τε χοραυλητικὴ καὶ αὐλητικὴ καὶ τὰ ὅμοια, τῶν δὲ χειρῶν ἡ κιθαριστικὴ καὶ τὰ τοιαῦτα: —

61. διαιρεῖται ἡ ἰατρικὴ εἰς πέντε· τὸ μὲν γὰρ αὐτῆς ἐστὶ φαρ- (D. L. 6 μακευτικόν, τὸ δὲ χειρουργικόν, τὸ δὲ διαιτητικόν, τὸ δὲ νοσογνωμι-

23) γίνηται cod. — 30) ἓν δὲ τῶν χειρῶν: tertium hoc in cod. omissum ego addidi. — ἓν δὲ χειρῶν — ἔργον in margine scripta sunt. — 33) καὶ αὐλητική: haec item in margine suppleta sunt.

κόν, τὸ δὲ βοηθητικόν. καὶ ἡ μὲν φαρμακευτικὴ διὰ φαρμακείας ἰᾶται τὰς ἀρρωστίας, ἡ δὲ χειρουργικὴ διὰ τοῦ τέμνειν καὶ καίειν ὑγιάζει τοὺς κάμνοντας, ἡ δὲ διαιτητικὴ διὰ τοῦ διαιτᾶν ἀπαλλάττει τῆς ἀρρωστίας, ἡ δὲ νοσογνωμικὴ διὰ τοῦ γνῶναι τὴν νόσον οὕτως ἰᾶται τὸν νοσοῦντα, ἡ δὲ βοηθητικὴ διὰ τῶν βοηθημάτων ὑγιάζει τοὺς ἀσθενοῦντας: —

(D. L. 11) 62. διαιρεῖται τὸ κάλλος εἰς τρία· ἓν μὲν γὰρ αὐτοῦ ἐστιν ἐπαινετόν, οἷον ἡ διὰ τῆς ὄψεως εὐμορφία· ἄλλο δὲ χρηστικόν, οἷον ὄργανον καὶ οἰκία καὶ τὰ τοιαῦτα πρὸς χρῆσιν εἰσὶ καλά· τὰ δὲ πρὸς ὠφέλειαν, οἷον νόμος καλὸς καὶ ἐπιτηδεύματα καὶ τὰ τοιαῦτα πρὸς ὠφέλειαν εἰσὶ καλά:

(D. L. 14) cf. supra 51 63. διαιρεῖται ἡ ἀρχὴ εἰς μέρη πέντε· ἓν μὲν εἰς τὸ κατὰ νόμον, ἓν δὲ εἰς τὸ κατὰ φύσιν, ἓν δὲ εἰς τὸ κατὰ ἔθος, ἓν δὲ εἰς τὸ κατὰ γένος, πέμπτον δὲ εἰς τὸ κατὰ βίαν. οἱ μὲν οὖν ἐν ταῖς πόλεσιν ἄρχοντες ὅταν ὑπὸ τῶν πολιτῶν αἱρεθῶσιν, οὗτοι κατὰ νόμον ἄρχουσιν. ἡ δὲ τοῦ κατὰ φύσιν ἀρχὴ οὐ μόνον ἐν τοῖς ἀνθρώποις ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ζώοις ἐστίν· ἐπὶ πολὺ γὰρ πανταχοῦ τὰ ἄρρενα τῶν ζώων τῶν θηλειῶν ἄρχει. ἡ δὲ τοῦ κατὰ ἔθος ἀρχὴ τοιαύτη ἐστίν, οἷον οἱ παιδαγωγοὶ τῶν παίδων ἄρχουσι καὶ οἱ διδάσκαλοι τῶν φοιτητῶν. κατὰ γένος δὲ ἀρχὴ τοιαύτη τις λέγεται, ὅταν πατέρα βασιλέα τελευτήσαντα υἱὸς διαδέξηται καὶ πάλιν τοῦτον ὁ τούτου υἱὸς καὶ ἐφεξῆς δὲ ὡσαύτως. (f. 253 a) ὅσοι δὲ βιασάμενοι || ἄρχουσιν ἀκόντων αὐτῶν, ἡ τοιαύτη ἀρχὴ κατὰ βίαν λέγεται εἶναι: —

---

64. Σκεπτέον ἥτις ἐστὶ τῶν ζώων πρὸς αλληλα διαφορά. φαμὲν οὖν εἶναι τῶν ζώων τὰ μὲν θνητά, τὰ δὲ ἀθάνατα. θνητὰ μὲν οὖν εἰσὶ ὅσα πέφυκε φθείρεσθαι καὶ αἵματος κοινωνεῖν, οἷον ἄνθρωπος καὶ βοῦς καὶ τὰ τοιαῦτα τῶν ζώων· ἀθάνατα δὲ οἷον ἄγγελοι. τῶν δὲ θνητῶν ζώων τὰ μέν ἐστι πτηνά, τὰ δὲ ἔνυδρα, τὰ δὲ πεζά. πεζὰ μὲν οὖν εἰσὶν οἷον ἄνθρωπος κύων ἵππος καὶ τὰ τοιαῦτα καὶ ἁπλῶς οἷς ὁ βίος ἐπίγειός ἐστιν, ἔνυδρα οἵ τε ἰχθύες καὶ τὰ ὄστρεα καὶ ἁπλῶς οἷς ἡ διαγωγὴ ἐν ὑγρῷ ἐστί, πτηνὰ δὲ οἷον ὄρνιθες καὶ σφῆκες καὶ μέλισσαι καὶ ἄλλα ὅσα τοιαῦτα ἃ διὰ τῆς οἰκείας φύσεως ὀχοῦνται κατὰ τὸν ἀέρα. πάντα δὲ τὰ τοιαῦτα καὶ κατὰ ψυχὴν καὶ κατὰ τὸ σῶμα δοκεῖ διαφέρειν ἀλλήλων. ὅτι μὲν οὖν κοινῶς κατὰ πάντων τούτων κατηγορεῖται ζῷον εἶναι δῆλον, διαφορὰν δέ τινα ἔχει τούτων ἕκαστον καθάπερ εἴπομεν· τὸ μὲν γὰρ αὐτῶν πεζόν, τὸ δὲ ἔνυδρον, τὸ δὲ πτη-

28) ἐστὶν πτηνά cod.

νόν, τὸ δὲ ἀθάνατον· τὸ δὲ κοινὸν κατηγορούμενον ἐφ' ἁπάντων φαμὲν εἶναι τὸ γένος. ἕκαστον δὲ τούτων ἐστὶ ζῶον, τὰ δὲ διαιρεθέντα τῶν ζώων λεκτέον εἴδη εἶναι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ σχήματος καὶ ἀριθμοῦ. τοῦ τε γὰρ τριγώνου καὶ τῶν λοιπῶν κοινὸν φαμὲν εἶναι τὸ σχῆμα· τούτων γὰρ ἕκαστόν ἐστιν ὅπερ ὑπάρχει σχῆμα τί· δῆλον οὖν ὅτι τὸ μὲν σχῆμα γένος ἂν εἴη τούτων, ταῦτα δὲ τοῦ σχήματος εἴδη· τὸ γὰρ σχῆμα διαιρήσομεν εἰς τρίγωνον καὶ τετράγωνον καὶ τὰ λοιπά. ὁμοίως δὲ καὶ τὸ περιττὸν καὶ τὸ ἄρτιον εἴδη τοῦ ἀριθμοῦ εἰσι· κοινῇ γὰρ αὐτῶν κατηγορεῖται ὁ ἀριθμός. ἐπεὶ δὲ τὸ μὲν γένος δοκεῖ πρότερον εἶναι τοῦ εἴδους, τὸ δὲ πρότερον οὐχ ἁπλῶς λέγεται, εἴπωμεν περὶ αὐτοῦ: —

65. τὸ πρότερον λέγεται πενταχῶς· ἢ γὰρ φύσει ἢ χρόνῳ ἢ δυνάμει ἢ θέσει ἢ τάξει λεχθήσεται. θέσει μὲν οὖν οἷον τὸ ἐπὶ τῶν κειμένων ψήφων εἰώθαμεν λέγειν, οἷον ὅτι πρότερον αὕτη ταύτης· τάξει δὲ οἷον ὁ ταξίαρχος τοῦ λόχου καὶ ὁ λοχαγὸς τοῦ ἰδιώτου καὶ τὸ ᾱ τοῦ β̄· δυνάμει δὲ φαμὲν εἶναι πρότερον τὸν στρατηγὸν τοῦ στρατιώτου καὶ ἁπλῶς τὸν δυνάστην τοῦ ἰδιώτου· χρόνῳ δὲ οἷον πατὴρ υἱοῦ καὶ πᾶν τὸ πρεσβύτερον τοῦ νεωτέρου· φύσει δέ ἐστι πρότερον οἷον ἥ τε μονὰς τῆς δυάδος καὶ τὸ μέρος τοῦ ὅλου καὶ τὸ γένος τοῦ εἴδους, καὶ ἁπλῶς ὅσα αὐτὰ ἀλλήλοις μὴ συναναιρεῖται, τούτων τὸ μὲν οὖν ἀναιροῦν πρότερόν ἐστι, τὸ φύσει δὲ συναναιρούμενον ὕστερον· οἷον τῆς μονάδος ἀναιρεθείσης ἡ δυὰς ἀναιρεῖται καὶ πᾶς ἀριθμός, δυάδος δὲ ἀναιρεθείσης οὐδὲν κωλύει μονάδα εἶναι· πρότερον τοίνυν τῇ φύσει μονὰς δυάδος. ὁμοίως δὲ καὶ τοῦ μέρους ἀναιρεθέντος τὸ ὅλον ἀναιρεῖται, τοῦ δὲ ὅλου μὴ ὄντος οὐδὲν κωλύει τὸ μέρος εἶναι. φανερὸν δὲ ὅτι ὁσαχῶς τὸ πρότερον λέγεται, τοσαυταχῶς καὶ τὸ ὕστερον λεχθήσεται· τὸ γὰρ ὕστερον ἐροῦμεν ἢ φύσει ἢ χρόνῳ ἢ θέσει ἢ τάξει ἢ δυνάμει: —

66. ὁσαχῶς τὸ πρότερον καὶ τὸ ὕστερον λέγεται, τοσαυταχῶς καὶ περὶ τοῦ ἅμα λεχθήσεται, οἷον ἢ φύσει ἢ θέσει ἢ δυνάμει ἢ χρόνῳ ἢ τάξει. θέσει μὲν οὖν εἰσὶ τὰ τοιαῦτα ἅμα ὅσα τῷ τόπῳ ἐξ ἴσου ἐστίν, οἷον τὰ τρέχοντα ἅμα φαμὲν εἶναι καὶ τὰ ἑστηκότα· τάξει δέ ἐστι τὰ τοιαῦτα ἅμα οἷον οἱ τοῖς ζυγοῖς στοιχοῦντες, δυνάμει δὲ ἅμα λέγομεν τὰ μηδὲν ἀλλήλων πλέον δυνάμενα, χρόνῳ δὲ τὰ τοιαῦτα φαμὲν εἶναι ἅμα τὰ κατὰ τὸν αὐτὸν χρόνον ὄντα, φύσει δὲ λεκτέον ἅμα εἶναι τά τε συναναιροῦντα ἄλληλα καὶ τὰ μὴ δυνάμενα χωρὶς ἀλλήλων εἶναι, οἷον τό τε διπλάσιον καὶ τὸ ἥμισυ· ταῦτα γὰρ συναναιροῦνται ἀλλή-

19) τὸ γένος: cod. τὸ γένους. — 32) ἐστὶν τὰ cod.

λοις καὶ τὸ ἕτερον χωρὶς τοῦ ἑτέρου ἀδύνατον εἶναι· διπλασίου γὰρ ἀναιρεθέντος οὐκ ἔσται ἥμισυ καὶ ἡμίσους ἀναιρεθέντος οὐκ ἔσται διπλάσιον καὶ ἀδύνατόν ἐστι διπλασίου ὄντος μὴ εἶναι ἥμισυ. τούτων οὕτως ἀποδειχθέντων ἀκόλουθον εἰπεῖν περὶ τῶν ὄντων: —

(D. L. 32) 67. τῶν ὄντων τὰ μὲν αὐτὰ καθ' ἑαυτά ἐστι, τὰ δὲ πρός τι. αὐτὰ μὲν οὖν καθ' ἑαυτὰ ταῦτα ἐστὶν οἷον ἄνθρωπος οἰκία ἱμάτιον χρυσίον καὶ πάντα ὅσα ἁπλῶς μὴ τῷ ἕτερόν τι εἶναι ἐξ ἀνάγκης ἐστί, τὰ δὲ πρός τι τοιαῦτα ἐστὶν οἷον τὸ διπλάσιον καὶ ἡ ἐπιστήμη· τό τε γὰρ διπλάσιον πρὸς τὸ ἥμισυ λέγεται καὶ ἡ ἐπιστήμη πρὸς ἄλλο τι: —

68. διαιροῦνται τὰ ἐναντία οὕτως. τῶν ὄντων τῶν μὲν ἔστι τι ἐναντίον τῶν δὲ οὔ· χρυσῷ μὲν γὰρ καὶ ἀνθρώπῳ καὶ ἱματίῳ καὶ τοῖς τοιούτοις οὐδέν ἐστιν ἐναντίον, ἀρετῇ δὲ καὶ ἀγαθῷ καὶ θερμῷ ἔστιν ἐναντίον· ἀγαθῶν μὲν γὰρ ἐναντίον τὸ κακόν, ἀρετῇ δὲ κακία, θερμῷ δὲ ψυχρόν. τῶν ἐναντίων τοίνυν αὐτῶν τὰ μὲν ἔχουσί τι ἀνὰ μέσον τὰ δὲ οὔ. ἀγαθοῦ μὲν γὰρ καὶ κακοῦ ἔστι τι ἀνὰ μέσον, κινήσεως δὲ καὶ ἠρεμίας οὐδέν ἐστιν ἀνὰ μέσον· ἐξ ἀνάγκης γὰρ πάντα ἢ κινεῖται ἢ ἠρεμεῖ. καὶ ζωῆς καὶ θανάτου οὐδέν ἐστιν ἀνὰ μέσον· ἐξ ἀνάγκης γὰρ ὅπερ τῆς ζωῆς δεκτικόν ἐστιν, ἢ ζῇ ἢ τέθνηκεν. αὐτὰ δὲ τὰ ἐναντία λέγεται περιττῶς· ἢ γὰρ ὡς ἀγαθῷ κακὸν ἐναντίον ἐστίν, οἷον τῇ δικαιοσύνῃ ἡ ἀδικία καὶ τῇ σωφροσύνῃ ἡ ἀκολασία καὶ τὰ τοιαῦτα, ἢ ὡς οὐδέτερον οὐδετέρῳ ἐναντίον ἐστίν ... τούτων γὰρ οὐδέν ἐστιν οὔτε ἀγαθὸν οὔτε κακόν. ὡς κακὸν κακῷ δὲ ἐναντίον ἐστὶ κακὸν ἡ ὑπερβολὴ τῇ ἐνδείᾳ καὶ τὰ καθ' ὑπερβολὴν καὶ ἔλλειψιν λεγόμενα οἷον τὸ ὑπερβαλλόντως ψύχεσθαι· ταῦτα γὰρ καθ' ὑπερβολὴν λέγεται· καὶ τὸ ἐλλεῖπον τοῦ θερμοῦ τῷ ἐλλείποντι τοῦ ψυχροῦ· καὶ γὰρ ταῦτα κατ' ἔλλειψιν ἐναντία: —

69. μετὰ ταῦτα τοίνυν περὶ καταφάσεως σκεπτέον πῶς λέγομεν. φαμὲν οὖν πᾶσαν κατηγορίαν ᾗ δηλοῦμεν ὑπάρχειν τι κατάφασιν εἶναι, οἷον τὸ καθῆσθαι τὸν ἄνθρωπον ἢ λευκὸν εἶναι τὸ ἱμάτιον καὶ πάντα τὰ τοῦτον τὸν τρόπον λεγόμενα. ἀπόφασις δέ ἐστι τοιοῦτον οἷον τὸ μὴ καθῆσθαι τὸν ἄνθρωπον καὶ τὸ μὴ λευκὸν εἶναι τὸ ἱμάτιον καὶ ἁπλῶς οὗ τὸ μὴ ἢ τὸ οὔ προστεθὲν σημαίνει μὴ ὑπάρχειν τι: —

5) ἔστι (cf. v. 6): cod. εἰσί. — 10) ἔστὶ τί cod. hic et infra. — 18) ὅπερ: cod. ἅπερ. — 21) ἐστίν. τούτων cod. sine lacuna, at desunt exempla. — 22) ἐστὶν κακόν cod.

V.

Integrioris olim physiognomicorum Aristotelicorum textus reliquiae etiamnunc habentur et in eis quae Polemonis epitomator (Christianus, cf. p. 197 Fr.) Polemoni supplementa addidit (inde a l. II c. 15 sqq. excepto tamen veri Polemonis epilogo c. 24 p. 306 ταῦτα ὅσα εἴρηται — ἐπιστήμην = Adam. p. 448, qui inter ipsa haec additamenta male detrusus est), et in eis quae in libro suo physiognomoniae ex Graecis tribus auctoribus Loxo medico nunc deperdito (quem citat Origenes) integrisque tunc et Aristotele philosopho et Polemone (quem Palemonem codices appellant omnes) rhetore compilata exhibet interpres Latinus anonymus*), quem ipsius Polemonis et Favorini sub Hadriano florentium, quorum quasi quos ipse testis viderit rixas et inimicitias (Philostr. vit. soph. 1, 8 et 25) post utriusque mortem reminiscitur, subaequalem fuisse patet id est seculi post Christum secundi ad finem vergentis**). cuius opusculum ut plurimum memorabile, quod pro primario rerum physiognomicarum fonte quemque totum fere exhausit Alberto Magno fuit in opere de animalibus modo Loxum citanti modo Palemonem modo corrupte Platonem, interdum

*) qui ita incipit: *Ex tribus auctoribus quorum libros prae manu habui, Loxi medici Aristotelis philosophi Palemonis declamatoris qui de physiognomonia scripserunt, ea elegi quae ad primam institutionem huius rei pertinent et quae facilius intelligantur.*

**) auctoris nomen propter tria auctorum nomina in principio adscriptorum deperditum esse verisimile est. videtur autem is fuisse Apuleius, quem physica multa praeter Aristotelis de mundo librum ex Graeco transtulisse scimus: hunc enim et Albertus uno loco auctorem appellat (opp. t. II p. 24 ubi ea citat quae sunt in f. 22ᵇ cod. Leod.) et in titulo libri habuisse videtur codex Harleianus 3969 (sec. XIV): nam licet ipsum libri de physionomia initium nunc uno folio exciso perditum sit, in indice tamen qui in fine huius codicis a recentiori quadam manu sec. XV adiectus est eorum quae *continentur pro ordine in hoc libro* Apuleio ille tribuitur id est eidem auctori cuius praecedunt *de secta Platonica* et *de deo Socratis*. nec sane est qui praeter eum huius aetatis scriptor magis conveniat (cf. de magia c. 36 cit. in Add. ad p. 277). ipsa denique libri natura utpote ex Graeco conversi non tantopere repugnat. sed de his alibi.

etiam Philemonem (unde nunc plane collustrantur quae olim disputavi de Arist. libr. p. 222—25), postquam magna sui parte scriptoris ad alia declinantis desidia truncatum in antiquo codice Berolinensi (m. Ianuar. a. 1855) reperi, nunc tandem mihi in itinere Anglico (m. Sept. a. 1862) renatum ex codicibus tribus Londiniensibus unoque Oxoniensi atque ex ipso praecipue Leodiensi integerrimo cum aliis *artis venatoriae* (ut Henrici Stephani utar) Analectis edendum praeparo. in quo negotio quum de Aristotele et Polemone eiusque epitomatore Graeco anonymo quem pro ipso Polemone legimus, itemque de altero eiusdem Polemonis metaphraste Adamantio ampliorem mihi disputandi occasionem fore sperem, haec interim tenenda esse moneo «*ἐκ τῶν Πολέμωνος φυσιογνωμονικῶν*» (qualis est librorum manuscriptorum titulus) non nisi membra excerpta atque disiecta misereque turbata nunc haberi, genuini autem Polemonis partem maiorem rerumque ordinem genuinum (quem Adamantius etiam quanquam inverterit, Aristoteli concedens a pedibus ordienti, tamen secutus est, a Polemonis epitomatore plane destructum) ex antiquissima versione Latina apud auctorem illum anonymum manere una cum Loxi deperditi fragmentis (quae ex codice Leodiensi partim edidit Pitra in Spicilegio Solesmensi t. III Paris. 1855 p. 321—23 cf. p. 58, indicavit autem primus I. H. Bormans qui de hoc codice accurate disputavit: v. Compte rendu de la comm. d'hist. sér. II t. 4 Brux. 1852 p. 128 cf. 126. 134) et libri Aristotelici excerptis, quae Polemonis quam reddit disputationi supplementa ille addidit. deinde autem alterum hoc addo, librum istum qui ferebatur Aristotelis, quamvis ad modum quidem similium multorum librorum qui male ex fragmentis redacti antiquitus extant inter Hippocratica, eadem qua nunc est condicione antiquissimorum iam librariorum auctoritatem nactus sit, non tamen integrum quendam esse unius scriptoris fetum sed ex duorum librorum antiquitus perditorum fragmentis inter se similium qui de physiognomonicis Peripatetice tractaverant, a librario quodam resarciente atque ex altero alterum complente fuisse conflatum: id quod et ordinis defectus prodit et singula capitula ipsaque capitulorum fragmenta arguunt nullo inter se nexu consuta (praecipue in c. 1—2: cf. Fülleborn, Beiträge zur Geschichte der Philosophie VIII p. 52. vide fragmentorum initia p. 806, 7 *ὅσα μὲν οὖν* . . . 806, 33 *καθόλου μὲν οὖν τοιαῦτα* . . . cf. 806, 21 *ἐφεξῆς* et 806^{b}21 *ὅσα μὴ ἐν τοῖς προειρημένοις δεδήλωται.* 807, 3 *ἔστι δὲ ἄλλος τρόπος* . . . 807, 11 *ὅπερ ἐστίν* . . . 807, 13 *περὶ φωνῆς* . . . 807, 25 *ἔστι δὲ κράτιστον* . . . 807, 31 *ἀνδρείου σημεῖα.* iterum in c. 4 p. 808^{b}30 *πολλὰ δὲ καὶ* . . . et 809, 1 *δεῖ μέντοι*, deinde c. 5 init. p. 809, 26 *νυνὶ δὲ πρῶτον.* item lacuna patet inter c. 5 et 6. cf. 810^{b}12 et 14. —

p. 814, 5 *ὥσπερ ἐν ἀρχῇ διῃρέθη*), item duorum ex duobus tractatibus prooemiorum reliquiae quae quum eadem fere praedicent in eodem tamen libro nunc quasi diversa se excipiunt capitula (primum c. 1—2 p. 805, 1 sqq., alterum c. 4 p. 808^{b}11 sqq. quae aperta est *διττογραφία*, cf. 808^{b}11 = 805, 1. 808^{b}27 = 805, 11. 808^{b}32 = 805^{b}19. 809, 19 = 807, 3). non igitur unum corpus est quod conspicimus, sed membrorum mutilorum fortuita fere congeries. quae libri natura quum antiquissima sit et cum ipso libro nata, partes tamen sunt quibus postea demum quum uberiores olim fuissent, librariorum festinantium negligentia et breviandi studium gravius damnum intulit, eas dico quae utpote merum recensum agentes rei uniformitate taedium moverent, velut specierum physiognomicarum descriptio (c. 3) et ipsa praecipue *ἡ ἐκλογὴ τῶν σημείων* (c. 6 sqq. usque ad finem). in his quidem a scribis multa omissa esse manifestum est, revera autem olim haec extitisse pleniora docet Polemonis epitomator Graecus qui quae Polemoni in fine assuit ex Aristotelis partim qui ferebatur tractatu verbotenus descripsit, docet antiquior etiam interpres Latinus qui et ipse Polemonis *εἴδη* aliis ex Aristotele additis auget. quo factum est ut eadem quaedam capitula apud hunc legantur Latine quae Graece ex Aristotele integriore extant in epitoma Polemonis. scilicet quatuordecim species (una tantum *θυμώδους* omissa) habet Polemo easdem eodemque ordine quas priores posuit Aristoteles apud quem nunc numerantur 22:

1. *ἀνδρεῖος*
2. *δειλός*
3. *εὐφυής*
4. *ἀναίσθητος*
5. *ἀναιδής* (*ἀναίσχυντος* P.)
6. *κόσμιος*
7. *εὔθυμος*
8. *ἄθυμος* (*ἀνιαρός* P.)
9. *κίναιδος* (*ἀνδρόγυνος* P.)
10. *πικρός*
11. *θυμώδης* (deest apud P.)
12. *πρᾶος*
13. *εἴρων*
14. *μικρόψυχος* (*φιλοχρήματος* P., *φιλάργυρος* Adam.)
15. *φιλόκυβος*

(huc usque Polemon)

16. *φιλολοίδορος*
17. *ἐλεήμων*
18. *ἀγαθὸς φαγεῖν*
19. *λαγνός*
20. *φίλυπνος*

(21. *λάλος*)

22. *μνήμων*

(23. *φθονερός*).

post *φιλόκυβον* ultima Polemonis sunt *περὶ μωροπονήρων*, post quae ut apud Adamantium p. 448 sequi debebat epilogus qui est p. 307. sed epitomator ex Aristotele addidit capitula Adamantio ignota quibus describuntur species 11, 16, 19 (cum figura Socratis ex Aristotelis nunc id est

Peripatetici cuiusdam antiqui testimonio descripta), 21 et 20 (quas confundit Aristotelis textus nunc vulgatus), denique 23 (quae nunc deest apud Ar.). iam vero apud interpretem Latinum praeter species Polemonicas alio loco exhibentur octo haec: 5, 6, 11, 12, 17, 19, 20, 22. praeterea autem in Polemonis epitoma Graeca ex Aristotele item excerpta sequuntur quae ad *ἐκλογὴν τῶν σημείων* pertinent (p. 302—5: reliquorum enim quae addit scriptor II, 23 extr. 24. 25—27 ignotus fons est. c. 26 = Adam. II, 2). atque eadem signa Aristotelica excerpsit Latinus, qui postquam Polemonis (quem Palemonem vocant codices ubique omnes) disputationem reddidit integram, repetit *quae proprie Loxus seu Aristoteles posuerunt.* omnia autem haec quae Aristoteli debet auctor libri de physiognomonia, desunt in vulgato eius textu seculi XIII et XIV qui mutilus est et perturbatus: hunc quidem multi continent codices (velut Londinienses, Oxonienses, Amplonianus, Marburgensis etc.) nec alium novit Albertus (et qui Albertum expilant Petrus Paduanus, Matthias Farinatoris et auctor physionomiae regiae quae dicitur). rari contra sunt in quibus illa conservantur antiquiores seculi XII, velut Oxoniensis Ashmol. 399 qui licet ipse negligentissime sec. XIV scriptus sit, archetypum exprimit anno 1152 scriptum: cuius tamen ipsius iam tenor turbatus fuit. eundem plane textum refert Berolinensis (lat. qu. 198) *scriptus in era 1170* i. e. 1132, in quo maior pars libri omissa est. unus autem omnium, quos quidem ipse noverim, integer est (licet emendatus) et integro procedit ordine Leodiensis, quem iam anno 1856 Leodii frustra quaesitum postquam ex Anglia revertens nuper inspexi, nunc demum a Belgis liberaliter ad usus meos commodatum penes me habeo.

Ἐκ τῶν Ἀριστοτέλους φυσιογνωμονικῶν.

Aristoteles secundum codices qui nunc extant (sec. XV).

(15) *Ἀναιδοῦς σημεῖα.* ὀμμάτιον ἀνεπτυγμένον καὶ λαμπρόν, βλέφαρα ὕφαιμα καὶ παχέα· μικρὸν ἔγκυρτος· ὠμοπλάται ἄνω ἐπηρμέναι· τῷ σχήματι μὴ ὀρθὸς ἀλλὰ μικρῷ προπετέστερος, ἐν ταῖς κινήσεσιν ὀξύς, ἐπίπυρρος τὸ σῶμα· τὸ χρῶμα ὕφαιμον· στρογγυ-

Aristotelis codex ab anonymo interprete seculi II fin. latine redditus.

Qui inverecundus est ita esse debet: patulis oculis lucidis, palpebris crassis et sanguinolentis, aliquanto incurvus, scapulis in acutum eminentibus, non tamen erectus, pronior, mobilis, aspersus rubore, sublucente intrinsecus sanguinolento colore, vultu rotundo,

λοπρόσωπος· τὸ στῆθος ἀνεσπασμένον (p. 807ᵇ28—33 Bk.).

pectore superius retracto, inferiore palpebra magis crassa. et quibus caput in modum mallei prolixum est et prominet ante ac retro (cf. Ar. p. 812, 8), *et quibus cutis oris tensa est, inverecundi sunt.*

(6) *κοσμίου σημεῖα. ἐν ταῖς κινήσεσι βραδύς, καὶ διάλεκτος βραδεῖα* (*βαρεῖα*? cf. Pol.) *καὶ φωνὴ* (*καὶ διαλεκτικός· φωνὴ βραδεῖα καὶ* codd. cum vers. ant.) *πνευματώδης καὶ ἀσμενής, ὀμμάτιον αλαμπὲς μέλαν καὶ μήτε λίαν ἀνεπτυγμένον μήτε παντάπασι συμμεμυκός, σκαρδαμυκτικὸν βραδέως· τὰ γὰρ ταχέως σκαρδαμύττοντα τῶν ὀμμάτων τὰ μὲν δειλὸν τὰ δὲ θερμὸν σημαίνει* (p. 807ᵇ33—808, 2).

honestas morum et tranquillitas hominis qui (sic Berol., *que* Ox.) *Graece dicitur   his indiciis colligenda est: movetur tardius, loquitur gravius, vocem infirmi potius spiritus quam expressum* (sc. *sonum* gl. interl. Leod.) *et clarum subit* (*subiit* B, corr. *mittit*) *quod* (*que* Ox.) *Graeci vocant   oculis erit non perlucidis, magis nigris, non satis clausis nec* [adde *apertis*,] *tardis* [adde *palpebris*]. *palpebras enim celeres diximus alias imbellem alias calidum indicare.*

Aristotelis codd. vulg.

(11) *Θυμώδους σημεῖα. ὀρθὸς τὸ σῶμα, τῷ σχήματι εὔπλευρος εὔθυμος* (corr. *εὔρυθμος*), *ἐπίπυρρος* (corr. *ὑπόπυρρος*)· *ὠμοπλάται διεστηκυῖαι καὶ μεγάλαι καὶ πλατεῖαι, ἀκρωτήρια μεγάλα καὶ ἐγκρατῆ· λεῖος καὶ* (corr. *τὰ*) *περὶ τὰ στήθη καὶ περὶ βουβῶνας, εὐπώ-*

Aristotelis codex a Polemonis epitomatore excerptus.

Θυμώδους σημεῖα τάδε εἰσί. ὀρθός, τῷ σχήματι εὔπλευρος εὔρυθμος, ἐπίπυρρος· ὠμοπλάται διεστηκυῖαι μεγάλαι (hic desunt quaedam) *καὶ ἐγκρατεῖς· λεῖος τὰ περὶ στῆθος καὶ βουβῶνα, δασυπώγων, τὰ νῶτα εὐρύς· ὁ περίδρομος τῶν τριχῶν κάτω βλέπων. καὶ ὅσοις τὸ*

Aristot. apud interpr. lat. sec. II.

Homo animosus qui Graece dicitur   ita erit: corpore rectus, lateribus idoneis, artus omnibus membris atque concinnus, prope rubicundus (*ὑπόπυρρος*). *huius scapulae grandes separatae latae, extremitates pedum et manuum grandes tenaces, leve pectus, levia inguina,*

γων, εὐαυξής (εὐανθής edd. priores cum vers. ant.)· ὁ περίδρομος τῶν τριχῶν κάτω κατεληλυθώς (p. 808, 19—24).

περὶ τὴν κεφαλὴν δέρμα περιίσταται, καὶ οἱ στρογγυλοπρόσωποι· καὶ ὀφρύες οἷαι τῶν στρυφνῶν· καὶ ῥινῶν κοιλότης.

barba facile increscens, ultima linea capillorum capitis deorsum demissa, frons rotunda, capillus non planus sed assurgens. supercilia trucia atque subrecta habebit, et nares (album in cod. Ox. pro ultimo verbo quod non intellexit scriptor, fort. *aduncos*).

(12) πραέως σημεῖα. ἰσχυρὸς τὸ εἶδος, εὔσαρκος· ὑγρὰ σὰρξ καὶ πολλή. εὐμεγέθης καὶ σύμμετρος, ὕπτιος τῷ σχήματι· ὁ περίδρομος τῶν τριχῶν ἀνεσπασμένος (p. 808, 24—27).

mansuetus homo ita intelligitur: erit solido ac forti vultu, carne ampliore ac molli, idem corpore maiore magis quam minore, mensuris corporis in se congruentibus, aliquanto resupinus, ultima linea capillorum capitis superius reducta, imum (*ime* L., *sine* O. cf. f. 8ª et 59ª) *manus ac pedis* (*pedes* corr. L.) [Ox. addit *aut intelligendum est*] *quod non uniforme est nec congestum sed discretum tanquam interrasum vel insculptum.*

---

(16) Φιλολοίδοροι οἷς τὸ ἄνω χεῖλος μετέωρον· καὶ τὰ εἴδη προπετεῖς, ἐπίπυρροι (p. 808, 32—33. cf. infra p. 811, 26: ὅσοι δὲ τὸ ἄνω χεῖλος καὶ τὰ οὖλα προεστηκότα ἔχουσι φιλολοίδοροι· ἀ-

Φιλολοιδόρου σημεῖα: τὸ ἄνω χεῖλος μετέωρον, καὶ κάτω προπετές· [del. ὑπέρυθροι,] ἐπίπυρροι. ἀναφέρεται ἐπὶ τοὺς κύνας· ἴδοι δ' ἄν τις καὶ ἐπὶ τῶν γεγηρακότων ἵππων

(cf. Ar. apud Anon. cod. Leod. f. 56ᵇ.)

ναφέρεται ἐπὶ τοὺς κύνας).

(haec ultima ἀναφέρεται etc. ex signorum descriptione huc traducta videntur).

(17) ἐλεήμονες ὅσοι γλαφυροὶ καὶ λευκόχροοι καὶ λιπαρόμματοι καὶ τὰ ῥινία ἄνωθεν διεξυσμένοι· καὶ ἀεὶ δακρύουσιν. οἱ αὐτοὶ οὗτοι καὶ φιλογύναιοι καὶ θηλυγόνοι καὶ περὶ τὰ ἤθη [...] ἐρωτικοὶ καὶ ἀειμνήμονες καὶ εὐφυεῖς καὶ ἔνθερμοι· τούτων δὲ σημεῖα εἴρηται (p. 808, 33—37).

Misericordem ex his intelliges esse: membris esse debet γλαφυροῖς, *cuius nominis significationem supra insinuavimus. coloris albi, nigris oculis, naribus ex superiori parte tenuioribus. huiusmodi homines et ad lacrimas sunt faciles, mulieribus dediti, et edunt facilius sobolem femininam, moribus autem propemodum multiformes. Qui amoribus (moribus* Ox., *diversis moribus* Leod.) *est deditus ita intelligitur: memor esse debet, ingeniosus, calidus, oculos habere prope lacrimantes et prope pallidos.*

(19) *Λάγνου σημεῖα.* λευκόχρως καὶ δασύς, ἐυθείαις θριξί [quae deesse videntur, suppl. ex lat., cf. Pol. ep.] καὶ παχείαις καὶ μελαίναις· καὶ οἱ κρόταφοι δασεῖς εὐθείαις θριξί· λιπαρὸν τὸ ὀμ-

Λάγνου σημεῖα. δασὺς τῇ ὑπήνῃ εὐθείας καὶ παχείας τρίχας ἔχων· λιπαρὸν τὸ ὄμμα καὶ μάργον, σκέλη λεπτὰ καὶ νευρώδη· καὶ ὅλος ὀρνιθώδης. δασύτης σκελῶν, γαστρὸς

Libidinosi id est intemperantes libidinum ita sunt: color albus, corpus hispidum, recti capilli. partes oris hispidae directis et solidis capillis et nigris. item tempora hispida si-

μάτιον καὶ μάργον (p. 808^{b}4—6).

